ἢ τῇ περὶ τὸν πόλεμον ῥαθυμίᾳ. Ὑπὸ δὲ τούτους αὐτοὺς τοὺς χρόνους Μάρκελλος τὸ πλεῖστον ἀνεκτήσατο τῆς Σικελίας ὑπὸ τοῖς Ἄφροις ἤδη γεγενημένον, καὶ τὰς Συρακούσας εἷλε πολιορκίᾳ, πολύν τε πλοῦτον ἐκεῖθεν προςεκτήσατο τοῖς Ῥωμαίοις. Τότε καὶ Λεβῖνος, πρὸς τὸν Φίλιππον καὶ πολλὰς τῶν ἑλληνικῶν πόλεων καὶ πρὸς Ἄτταλόν τινα Ἀσίας βασιλέα σπεισάμενος, ἐπὶ τὴν Σικελίαν ὡρμήθη. Ἄννωνα δὲ τὸν Καρχηδονίων στρατηγὸν καὶ τὴν Ἀκραγαντίνων πόλιν ἑλών, ἣν ἐφρούρει, τὸν μὲν ἅμα τοῖς ἐπισημοτάτοις τῶν αἰχμαλώτων ἐπὶ τὴν Ῥώμην ἐξέπεμψε, τεσσαράκοντα δὲ πόλεις τῆς Σικελίας ἑκούσας ἑλών, ἓξ δὲ καὶ εἴκοσι πολιορκίᾳ, οὕτως οἴκαδε ἐπανῆλθε· καὶ τότε πάσης ἐγένοντο Ῥωμαῖοι τῆς Σικελίας δεσπόται. Λαμπρὸς οὖν ἐπὶ τούτοις ἐπανῆλθεν ὁ Λεβῖνος. Τούτων ἐν Σικελίᾳ πραττομένων, Ἀννίβας ἐν Ἰταλίᾳ τῷ τε ὑπάτῳ Φουλβίῳ καὶ τῷ στρατεύματι προςπεσὼν ἐξαπιναίως, ὀκτὼ χιλιάδας ἀναιρεῖ καὶ τὸν ὕπατον.

15. Ἐν δὲ ταῖς Ἱσπανίαις, μετὰ τὴν τῶν Σκιπιώνων τελευτὴν οὐκ ὄντος ἡγεμόνος τῷ στρατεύματι, πέμπεται Σκιπίων ἕτερος, ὁ καλούμενος Πούβλιος, παῖς Σκιπίωνος τοῦ πρότερον ἐκεῖ πεπολεμηκότος, γεγονὼς μὲν ἔτη τέσσαρα καὶ εἴκοσι, τῶν δὲ κατ᾽ αὐτὸν καὶ τῶν ἐφεξῆς ἁπάντων ἄριστος. Οὗτος εὐθὺς ἐκ προοιμίων αἱρεῖ Καρχηδόνα τὴν ἐν Ἱσπανίαις, ὁμώνυμον τῇ μητροπόλει τῆς Ἀφρικῆς, αἴρει δὲ καὶ τὸ χρυσίον ἅπαν καὶ τὸν ἄργυρον καὶ τὴν λοιπὴν τοῦ πολέμου παρασκευὴν τῶν Ἄφρων, αὐτόθι κειμένην ὡς ἐν ὀχυρῷ χωρίῳ, καὶ τοὺς ὁμήρους δὲ σύμπαντας, οὓς ἐκ τῶν ἐπισήμων γενῶν ἐτύγχανεν Ἀννίβας εἰληφώς, τούτοις τὴν τῆς γῆς ἀσφαλιζόμενος κτῆσιν. Γίγνεται δὲ καὶ τοῦ Μάγωνος ἐγκρατής, ὃς ἦν ἀδελφός, ὡς ἔφην, Ἀννίβου. Ῥωμαῖοι μὲν οὖν τὴν λείαν ἅπασαν καὶ Μάγωνα δεξάμενοι λαμπρὰν ἦγον ἑορτήν. Ὁ δὲ Σκιπίων, προς[...]γόμενος τοὺς Ἱσπανούς, ἅπασιν ἀπέδωκε τοὺς ὁμήρους, καὶ τού[...] πάντας ἐποίησε τοὺς Ἱσπανοὺς ὥςπερ

2. Ἐν τῇ ῷᾳ· *τοῦτον τὸν μάρκελλον παράλληλον τίθησι πλούταρχος πελοπίδα τῷ θηβαίῳ* ΑΜΣ 3. *ἤδη ἐν συνεχείᾳ τοῦ κειμένου* Π : *ἤδη πρόςθετον τῇ δευτέρᾳ χειρὶ ἄνωθεν* Α *Συρακούσας* ΙΣΔ : *συρρακούσας* ΑΜ 6. *Ἄτταλόν* ΙΣΔ : *ἄτταλλόν* ΑΜ 7. *Ἄννωνα* ΜΙΔ : *Ἄννωνα* ΑΣ *τὸν* Π : *τὸν ἐκ τοῦ τῶν* Α

9. *ἐξέπεμψε* ΙΣΔ : *ἐξέπεμψεν* ΑΜ 15. *Ἱσπανίαις* ΣΔ : *ἰσπανίαις* ΑΜΙ *Σκιπιώνων* ΙΔ : *Σκηπιώνων* ΑΜΣ 16. Ἐν τῇ ῷᾳ· *οὗτος δὲ (οὗτος ἐστὶ* Μ : *οὗτός ἐστι* Σ) *σκηπίων ὁ υἱὸς τοῦ προρρηθέντος σκηπίωνος ὁ τὸν ἀννίβαν τέλεον τροπωσάμενος* ΑΜΣ *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ 17. *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ 20. *Ἱσπανίαις* ΣΔ : *ἰσπανίαις* ΑΜΙ *αἱρεῖ* Π : *αἴρει* Δ 27. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ *Ἱσπανοὺς* ΣΔ : *ἰσπανοὺς* ΑΜΙ 28. *Ἱσπανοὺς* ΣΔ : *ἰσπανοὺς* Ι : *ἰσπανοὺς τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ ἰσπάνους* Δ

ΙΩΑΝΝΙΝΑ 2006

ἐκ μιᾶς γνώμης προσθέσθαι Σκιπίωνί τε καὶ Ῥωμαίοις. Μετὰ ταῦτα συμμίξας τοῖς Ἄφροις τρέπει μὲν τὸν Ἀσδρούβαν εἰς φυγήν, πολὺν δὲ καὶ ἐκ ταύτης τῆς μάχης ἀνείλετο πλοῦτον.

16. Οὕτω τῶν ῥωμαϊκῶν διακειμένων, Φάβιος ὕπατος καταστὰς ὑπηγάγετο Τάραντα, ἐν ᾗ πάντα τὸν ἐκ τοῦ πολέμου πλοῦτον παρακαταθέμενος ἐτύγχανεν Ἀννίβας. Ἀνεῖλε δὲ καὶ τὸν ὑφηγεμόνα αὐτοῦ Καρθάλωνα, καὶ πέντε καὶ εἴκοσι χιλιάδας ἀνδρῶν, οὓς εἷλεν ἐν τῇ μάχῃ ζῶντας, ἀπέδοτο, καὶ τὴν λοιπὴν πᾶσαν λείαν διένειμε τῷ στρατῷ, τὰ τιμήματα τῶν πεπραμένων αἰχμαλώτων μόνων τῷ ῥωμαϊκῷ καθοσιώσας ταμιείῳ. Τούτοις τοῦ Φαβίου τοῖς ἔργοις αἱ πρὸς Ἀννίβαν [μεθεστηκυῖαι] τῆς Ἰταλίας πόλεις μετετέθησαν ἐπὶ τοὺς Ῥωμαίους, τῶν οἰκούντων αὐτὰς κἀνταῦθα τοὺς ἡττημένους ἀπολιπόντων. Τῷ δὲ μετὰ τοῦτον ἐνιαυτῷ Σκιπίων ἐν Ἰσπάνοις αὐτός τε μεγαλουργῶν καὶ τὸν ἀδελφὸν Λούκιον Σκιπίωνα συνεργὸν ἔχων, ἑβδομήκοντα πόλεις ἀνέ[λ]αβεν, α[ἳ] προσκεχωρήκεισαν τοῖς Ἄφροις. Ἀλλ' ἐπὶ τῆς Ἰταλίας οὐκ ἦν ὅμοια τὰ Ῥωμαίων, Μαρκέλλου περιπεσόντος ἐνέδραις, ἃς ἔστησεν Ἀννίβας, καὶ τὴν τελευτὴν οὕτω δεξαμένου.

17. Σκιπίων δέ, τρίτον ἔτος ἤδη τὰ κατὰ τοὺς Ἰσπάνους διοικῶν, προσέθηκε μεγάλοις μείζονα. Τὸν γὰρ βασιλέα τῶν Ἰσπανῶν μεγάλῃ νικήσας μάχῃ μετὰ ταῦτα πρὸς αὐτὸν ἐσπείσατο. Καὶ πρῶτος οὗτος ὁμήρων οὐκ ἐδεήθη· τοσοῦτον ἐθάρρει τοῖς ἔργοις.

18. Ταῦτα γνοὺς Ἀννίβας ἀπέγνω τῶν Ἰσπανῶν, ὡς οὐδενὸς ἀνθέξοντος Σκιπίωνι· καὶ μεταπέμπεται τὸν ἀδελφὸν Ἀσδρούβαν εἰς

1. *προσθέσθαι* ΙΔ : *προέσθαι* ΑΜΙ    *Σκιπίωνί τε* ἔγραψα : *Σκιπίωνι τε* Δ : *σκηπίωνι τὲ* ΑΣ : *σκιπίωνι τὲ* ΣΜ    2. *πολὺν δὲ* ΣΔ : *πολύν τε* ΑΜΙ    5. *πολέμου* Π : *πο[λ]έμου* Μ    5-6. *παρακαταθέμενος* Π : *παρ[α]καταθέμενος* Α    8. *λοιπὴν πᾶσαν* Π : *λοιπὴν πάσαν* Ι    9. *μόνων* Π : *μόνον* Δ    11. *μεθεστηκυῖαι* προσέθηκα ἀντὶ τοῦ *μεταστᾶσαι* τοῦ κατὰ πρότασιν τοῦ Σ προστεθέντος ὑπὸ Δ : [illegible] Π    *πόλεις* Π : *λείπει* [illegible]    1[2]. *ἐνταῦθα* Π : *κἀνταῦθα* Δ    13. *τοῦτον* Ι : [illegible] Σ : *ταυτ[.]* ΑΜ : *ταῦτα ὕστερον* Δ    *Σκιπίων* ΙΔ : *Σκηπίων* ΣΔ : *σκηπίωνι* Μ    *Ἰσπάνοις (ἰσπάνοις Μ)* Π : *Ἰσπανίαις* Δ    14. *Σκηπίωνα* ΙΣΔ : *Σκηπίωνα* ΑΜ    17. *οὕτω* Π : *οὕτω* Μ    18. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ    *Ἰσπάνους* ἔγραψα : *ἰσπάνους* Ι : *ἰσπανοὺς* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἰσπάνους* Δ : *ἰσπανοὺς* Μ    19. *Ἰσπανῶν* ΙΣΔ : *ἰσπανῶν* ΑΜ    22. *Ἰσπανῶν* ΣΔ : *ἰσπανῶν* ΑΜΙ    24. *Σκιπίωνι* ΙΔ : *Σκηπίωνι* ΑΜΣ    *τὸν ἀδελφὸν Ἀσδρούβαν* ΙΣΔ : *τὸν ἀδελφὸν* (ε΄΄β) *ἐκ λιβύης ἀσδρούβαν* τῶν ἄνωθεν γεγραμμένων ἐρυθρῶν Δ : *τὸν ἀδελφὸν* (ε΄΄β) *ἀσδρούβαν* Μ

ΙΩΑΝΝΙΝΑ 2006

Ἰταλίαν μετὰ πάσης στρατιᾶς. Ὃς ταῖς ὁδοῖς χρώμενος ταῖς ὑπὸ Ἀννίβου προεγνωσμέναις, ἐνεδρευθεὶς ὑπὸ τῶν ὑπάτων Ἀππίου τε Κλαυδίου Νέρωνος καὶ Λιβίου τοῦ Σαλινάτωρος, περὶ τὴν Σέναν τοῦ Πικηνοῦ πόλιν μετὰ πολὺν τὸν ἐν τῷ πολέμῳ πόνον καὶ ἣν ἐπεδείξατο μαχόμενος ἀνδρείαν αὐτός τε πίπτει καὶ τῆς στρατιᾶς ἁπάσης οἱ νενικηκότες ἐγένοντο κύριοι, πρὸς δὲ καὶ χρυσίου καὶ ἀργύρου πολλῶν ταλάντων· ἃ καὶ Ῥωμαίους ἐξέπληξεν. Ἐντεῦθεν ἤρξατο λοιπὸν Ἀννίβας μὲν οὐκ ἀγαθὰς ἔχειν περὶ τοῦ πολέμου τὰς προσδοκίας· τοῖς Ῥωμαίοις δὲ ηὐξήθη τὸ τῶν ἐλπίδων, καὶ μετακαλοῦνται πρὸς ἑαυτοὺς τὸν Σκιπίωνα. Καὶ ὁ μὲν παραγίνεται λαμπρὸς ἐπὶ μεγάλοις, ὡς εἰκός, ἔργοις.

19. Καικιλίῳ δὲ καὶ Οὐαλερίῳ τοῖς ὑπάτοις πᾶσαι Βρούττων αἱ πόλεις ὑπὸ τῶν οἰκούντων παρεδόθησαν.

20. Ἀννίβας μὲν οὖν τέταρτον καὶ δέκατον ἦγεν ἐπὶ τῆς Ἰταλίας ἔτος. Ἐν τούτῳ δὲ ὁ Σκιπίων ὕπατος χειροτονεῖται, ὁ τὰ μέγιστα ἐν Ἰσπάνοις ἐργασάμενος, καὶ εἰς αὐτὴν τὴν Ἀφρικὴν ἐκπλεῖ, πείσας Ῥωμαίους ὡς χρὴ μεταστῆσαι τὰ δυσχερῆ τῆς μάχης εἰς τὴν πολεμίαν. Οἷα γὰρ ἐπιπνοίᾳ ἐπεπίστευτο, τοσαῦτα κατώρθου, καί τις ἦν ὁ λόγος ὡς ἄρα καὶ πρὸς τοὺς θεοὺς αὐτῷ γίγνοιτο συνουσία. Τῆς οὖν Ἀφρικῆς ἐπιβάς, Ἄννωνι συνέμιξε τῷ στρατηγῷ. Καὶ προτέρᾳ μὲν συμπλοκῇ τὴν στρατιὰν αὐτοῦ διέφθειρε πανωλεθρίᾳ· δεύτερον δὲ εἰς χεῖρας ἐλθών, ἐκβάλλει τῆς παρεμβολῆς αὐτόν, καὶ ταύτης γίγνεται κύριος σὺν τοῖς φύλαξι τετρακισχιλίοις καὶ πεντακοσίοις ἀνδράσιν· οἱ δὲ πεσόντες ἦσαν ἕνδεκα χιλιάδες. Αἱρεῖ δὲ καὶ Σύμφακιν τὸν Νουμίδων βασιλέα συμμαχοῦντα τοῖς Ἄφροις, καὶ γίνεται καὶ ταύτης

3. *Λιβίου* Δ : *Ἀλιβίου* Σ : *Ἀλβίου* ΑΜΙ    *Σαλινάτωρος* ΣΔ : *σαλινάτορος* ΑΜΙ    *Σέναν* ΙΣΔ : *σέναν* τοῦ α ἐξηλειμμένου Α : *σένεν* Μ    3-4. *Πικηνοῦ* Δ : *πικίλου* Ι : *πικίλου* ἐκ τοῦ *ποικίλου* Α : *ποικιλου* ΜΣ    4. *ἐπεδείξατο* ΙΜΣ : *ἐπεδείξατο* τῇ δευτέρᾳ χειρὶ ἀντὶ τοῦ *ἀπεδείξατο* Α : *ἐπιδείξατο* Δ
5. *ἀνδρείαν* ΑΜΣ : *ἀνδρίαν* ΙΔ    9-10. *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ
11. *Καικιλίῳ* ΙΣΔ : *καὶ κιλίῳ* ΑΜ    *καὶ* Π : λείπει Μ    13. *ἦγεν* Π : *ἤγεν* Ι    14. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ    15. *Ἰσπάνοις* ἔγραψα : *ἰσπάνοις* Ι : *ἰσπανοῖς* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἰσπάνοις* Α : *ἰσπανοῖς* Μ : *Ἰσπανοῖς* Σ
*Ἀφρικὴν* Π : *ἀφρικὴν* Ι    17. *οἷα* ΑΜ : *οἷα* Σ : *θεία (;)* Ι : *θείᾳ* Δ κατὰ τὴν πρότασιν τοῦ Σ    *ἐπεπίστευτο* Π : *χρῆσθαι ἐπεπίστευτο* Δ κατὰ τὴν πρότασιν τοῦ Σ    *κατώρθου* Π : *κατορθώσας* Δ τοῦ Σ προτείναντος *κατορθώσας*    18. *τοὺς* ΙΜ : λείπει ΑΣΔ    20. *στρατιὰν* ἔγραψα : *στρατίαν* Ι : *στρατείαν* ΑΜΣ : *στρατειὰν* Δ    *πανωλεθρίᾳ* Π : *πανολεθρία* Μ    22. *ταύτης* ΙΣΔ : *ταύτη* ΑΜ    *γίγνεται* ἔγραψα : *γίνεται* Π    23. *τὸν* ἔγραψα : *τῶν* Π    23-24. *Νουμίδων* Π : *Νουμιδῶν* Δ

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΠ. ΠΕΤΣΙΟΣ
Ε. Δ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τῆς παρεμβολῆς κύριος. Καὶ τὸν μὲν Σύμφακιν εἰς τὴν Ῥώμην ἐξέπεμψε μετὰ Νουμίδων τῶν ἐπιφανεστάτων καὶ τῶν ἀπὸ τοῦ πολέμου λαφύρων, καὶ ἀριθμὸν καὶ πολυτέλειαν παριόντων. Γνωσθέντων δὲ τῶν κατὰ Ἀφρικὴν Σκιπίωνος ἔργων, πᾶσα μὲν λοιπὸν Ἰταλία τὸν Ἀννίβαν ἀπέλιπεν, αὐτὸς δὲ ὑπὸ Καρχηδονίων κατεκλήθη, τῆς πολιορκίας αὐτοὺς πιεζούσης.

21. Ἑπτακαιδεκάτῳ τοίνυν ἐνιαυτῷ τῆς Ἰταλίας Ἀννίβας ἀπεχώρησε. Καὶ τότε πρεσβεύονται παρὰ τὸν Σκιπίωνα Καρχηδόνιοι. Ὁ δὲ ἀναπέμπει πρὸς Ῥωμαίους πέντε καὶ τεσσαράκοντα ἡμέρας ἀνακωχὴν δοὺς τῷ πολέμῳ, ὡς ἂν ταύταις ἀπελθεῖν γένοιτο ῥᾴδιον. Καὶ τοῦδε αὐτῷ μισθὸς ἦν τριῶν μυριάδων ἀργυρίου σταθμός. Δεξαμένη τοίνυν ἡ σύγκλητος τὴν πρεσβείαν, κύριον ποιεῖται τῶν σπονδῶν τὸν Σκιπίωνα. Καὶ τίθεται ταῦτα ἐφ᾽ ᾧτε μὴ πλείους ἢ τριάκοντα ναῦς ἔχειν Καρχηδονίους καὶ δοῦναι Ῥωμαίοις ὑπὲρ τῶν σπονδῶν πεντήκοντα μυριάδων ἀργυρίου σταθμόν, τοὺς αἰχμαλώτους δὲ ἅπαντας καὶ τοὺς προσήλυδας ἀποδοῦναι.

22. Ταύτας τὰς σπονδὰς συνετάραξεν ἐπιστὰς Ἀννίβας καὶ πολλὰ τρόπον πολεμίων Ἄφροι διεπράττοντο, ὥστε καὶ τοὺς πρέσβεις αὐτῶν ἐκ τῆς Ῥώμης ἐπανιόντας ὑπὸ τῆς μετὰ Σκιπίωνος στρατιᾶς συλληφθῆναι. Ἀλλ᾽ ὁ Σκιπίων αὐτοὺς διαφῆκε, καὶ συνάπτει μάχην πρὸς τὸν Ἀννίβαν. Ἡττηθεὶς δὲ Ἀννίβας ἐν ἁπάσαις ταῖς συμπλοκαῖς, γίγνεται καὶ αὐτὸς ἱκέτης ὑπὲρ εἰρήνης. Αἱ δὲ σπονδαὶ ἀνελήφθησαν ἐφ᾽ οἷς ἐγένοντο τὴν ἀρχήν, προστεθεισῶν, ὅτι δὴ τὴν ἀρχὴν παρεσπόνδησαν, ἀργυρίου λιτρῶν εἰς δέκα μυριάδας. Ἀλλ᾽ οὐκ ἐδέξαντο τὴν προσθήκην οἱ Καρχηδόνιοι, προσέταξαν δὲ τὸν Ἀννίβαν πολέμιον κρίνεσθαι. Ἐπῆλθε τοίνυν αὐτός τε Σκιπίων τῇ Καρχηδόνι καὶ Μασινίσσας,

2. *Νουμίδων* Π : *Νουμιδῶν* Δ    4. *Σκιπίωνος* ΙΣΔ : *Σκηπίωνος* ΑΜ    5. *ἀπέλιπεν* Ι : *ἀπέλειπεν* ΑΙΔ : *ἐπέλιπεν* Μ    5-6. *πολιορκίας* Π : *πολιορκίας* τοῦ ῦ διορθωθέντος εἰς ΐ ὑπὸ τοῦ ἐρυθρογράφου Α    7. Ἐν τῇ ᾤχ᾽ *ὅτι ιζ̄ ἔτη ἀννίβας ἰδήου τὴν ἰταλίαν* ΑΣ    *ἑπτακαιδεκάτῳ* Π : *ἑπτὰ καὶ δεκάτῳ* Μ    7-8. *ἀπεχώρησε* ΙΣΔ : *ἀπεχώρῖσε* ΑΜ    8. *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ    9. *δὲ* Π : *δε᾽* Α

9-10. *ἀνακωχὴν* Π : *ἀνακωχὴ* Δ    10. *ἀπελθεῖν* ΙΑ : *ἐπελθεῖν* ΜΣΔ    13. *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ    *ᾧτε* ΣΔ : *ᾧ τε* ΑΜΙ    17. *τὰς* Π : *δὲ τὰς* Δ

18. *τρόπον* ΣΔ : *τρόπων* ΑΜΙ    19. *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ

20. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ    21. *ἡττηθεὶς* Π : *ἡττηθεὶς τῇ αὐτῇ χειρὶ ἐκ τοῦ ἡττηθεὶς* Α    22. *εἰρήνης* Π : *εἰρήνης τῇ πρώτῃ χειρὶ ἐκ τοῦ εἰδ. . .* Α    *δὲ* ΙΔ : λεῖπει ΑΜΣ    25. *πολέμιον* Ι : *πολέμῳ* Π    26. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ

ἕτερος Νουμίδων βασιλεύς, φίλος καὶ σύμμαχος τῷ Σκιπίωνι γεγενημένος. Μελλούσης δὲ κινεῖσθαι τῆς μάχης, ἐβουλήθη κατασκοπῆσαι τὸ στρατόπεδον τὸ ῥωμαϊκὸν Ἀννίβας, καὶ πέμπει κατασκόπους. Τούτους ἑλὼν ὁ Σκιπίων ἐπιδειχθῆναί τε αὐτοῖς προσέταξε τὸ στράτευμα καὶ τὴν ἄλλην τοῦ πολέμου παρασκευήν, δειπνήσαντας δὲ ἀφεθῆναι, μηνύσοντας ἅπερ τεθέαντο.

23. Ὡς δὲ ἐγγὺς ἦσαν χειρῶν, τὰ μὲν τῆς παρατάξεως ἦν ἄξια θαυμάσαι, δύο στρατηγοῖν ἀρίστοιν τὰ στρατεύματα ταττόντων. Ὡς δὲ τὸ ἔργον ἤρξατο, νικᾷ τε ὁ Σκιπίων καὶ μικροῦ ζῶντα τὸν Ἀννίβαν αἱρεῖ. Ἀλλ᾽ ὁ μὲν σὺν τέτταρσιν ἱππεῦσι διεσώθη· πλοῦτος δὲ ὅσος οὔπω πρότερον ἐν τῇ παρεμβολῇ κατελήφθη τῶν πολεμίων, εἴκοσι μὲν μυριάδων ἀργυρίου, χρυσίου δὲ ὀκτὼ σταθμὸς ἐσθήματά τε πολλὰ καὶ παντοδαπά. Οὗτος ὁ πόλεμος ἐκύρωσε τὰς σπονδάς, καὶ πρὸς τὴν Ῥώμην ἐπανῆκεν ὁ Σκιπίων, καὶ τὴν νίκην ἐθριάμβευσεν, Ἀφρικανός τε ἐπεκλήθη, τῆς ἑαυτοῦ νίκης γενόμενος ἐπώνυμος. Ἐτελεύτησε δὲ ὁ πόλεμος οὗτος ἐνάτῳ καὶ δεκάτῳ ἐνιαυτῷ.

## ΒΙΒΛΙΟΝ Δ΄.

1-2. Τὰ μὲν οὖν Ἄφρων ὑπὸ Ῥωμαίοις ἦν. Ἠκολούθησε δὲ ὁ μακεδονικὸς πόλεμος, ὁ πρὸς τὸν βασιλέα Φίλιππον, πρώτῳ καὶ πεντηκοστῷ καὶ πεντακοσιοστῷ τῆς πόλεως ἔτει. Πρὸς ὃν Τίτος Κυίντιος Φλαμίνιος ἐκπεμφθεὶς νικᾷ τε αὐτὸν καὶ τίθεται σπονδάς, ὥστε καὶ τῶν πόλεων αὐτὸν ἀπέχεσθαι τῶν ἑλληνικῶν, αἳ προσκεχωρήκεσαν Ῥωμαίοις παρὰ τὸν τοῦ τότε πολέμου καιρόν, καὶ τοὺς αἰχμαλώτους καὶ προσήλυδας ἀποδοῦναι, καὶ μὴ πλείους ἔχειν πεντήκοντα νηῶν, τὰς δὲ λοιπὰς ἁπάσας παραδοῦναι, ὡς δὲ καὶ τοῖς ἑξῆς ἐνιαυτοῖς διδόναι φόρον, ἐτήσια τετρακισχίλια τάλαντα ἀργυρίου καὶ προσέτι τὸν Δημήτριον ὅμηρον παραδοῦναι. Μεταστήσας δὲ ἐπὶ τοὺς Λακεδαιμο-

1. *Νουμίδων* Π : *Νουμιδῶν* Δ   *Σκιπίωνι* ΙΔ : *Σκηπίωνι* ΑΜΣ   4. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ   *ἐπιδειχθῆναί τε* Δ : *ἐπιδειχθῆναι τὲ* Π   5. *δὲ* Π : *τὲ* Ι   9. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ   12. *σταθμὸς* Π : *σταθμὸς* Δ   *ἐσθήματά τε* Δ : *ἐσθήματα τὲ* Π   16. *ἐνάτῳ* Ι : *ἐνάτω διώρθωσεν ὁ ἐρυθρογράφος ἐκ τοῦ ἐννάτω* Α : *ἐννάτω* ΜΣΔ   17. Ἐν τῇ φχ *ἀπὸ κτίσεως ῥώμης ἕως τοῦ μακεδονικοῦ πολέμου ἔτη* φν ΑΜΣ   19. *Κύντιος* Π. Γραπτέον *Κυίντιος*   20. *Φλαμίνιος* ΣΔ : *φλάμινος* ΑΜΣ   23. *καὶ* ΑΜΙ : *[καὶ τοὺς]* Σ : *καὶ τοὺς* Δ.   *νηῶν* Π : *νεῶν* Δ   25. *ἐτήσια* ΙΣΔ : *αἰτήσια* ΑΜ   *τὸν* Π : *τὸν υἱὸν* Δ   26. *παραδοῦναι* Π : *παραδοῦναι τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ ἀποδοῦναι* Α

ΙΩΑΝΝΙΝΑ 2006

νίους ὁ Φλαμίνιος τὴν στρατιὰν, κρατεῖ τε αὐτῶν μάχῃ καὶ τὸν στρατηγὸν αἱρεῖ καὶ συνθήκας ἃς ἐβουλήθη ποιησάμενος ὑποσπόνδους θριαμβεύων εἰς τὴν Ῥώμην εἰσῆλθε, προτρεχόντων αὐτῷ τοῦ ἅρματος Δημητρίου τε τοῦ Φιλίππου παιδὸς καὶ Ἀρμένου τοῦ Νάβιδος.

3. Οὕτω καὶ τῶν μακεδονικῶν καὶ τῶν λακωνικῶν ἡσυχασάντων, πρὸς Ἀντίοχον τὸν βασιλεύοντα Συρίας ἀνήφθη πόλεμος. Ὕπατοι δὲ ἦσαν Πούβλιος Κορνήλιος Σκιπίων καὶ Μάρκος Ἀκίλιος Γλαβρίων. Συνεμάχει δὲ τῷ μὲν Ἀντιόχῳ πεφευγὼς ἐκ τῆς Καρχηδόνος Ἀννίβας· δέος γὰρ αὐτὸν ἐξήγαγε τῆς πατρίδος ὡς Ῥωμαίοις ἐκδοθησόμενον, Ῥωμαίοις δὲ ὁ Μακεδόνων [βασιλεὺς] Φίλιππος. Γίγνεται δὲ νυκτομαχία κατὰ τὴν Ἀχαΐαν ὑφ᾽ ἡγεμόνι τῷ Γλαβρίωνι, καὶ τῆς μὲν παρεμβολῆς τοῦ βασιλέως οἱ Ῥωμαῖοι γίγνονται κύριοι· φεύγει δὲ ἐκεῖνος ἐπὶ τὸ λοιπὸν τῆς βασιλείας. Φιλίππῳ δὲ Δημήτριος παῖς ἀπεδόθη τῆς συμμαχίας χάριν.

4. Τούτους διαδέχονται τοὺς ὑπάτους Λούκιος Κορνήλιος Σκιπίων, ἀδελφὸς ὢν τοῦ κληθέντος Ἀφρικανοῦ, καὶ ὁ ἀδελφὸς αὐτοῦ χειροτονεῖται ληγάτος, καὶ Γάϊος Λέλιος. Καὶ φέρεται κλήρῳ τὰ τοῦ πολέμου τοῦ πρὸς Ἀντίοχον ἐπὶ τὸν Σκιπίωνα. Καὶ πρότερον μὲν ναυμαχίᾳ τῆς βασιλικῆς ἐκράτησε στρατιᾶς· ἡγεμόνα δὲ εἶχεν Ἀννίβαν ὁ στόλος· ἔπειτα δὲ καὶ αὐτὸν Ἀντίοχον ἐν Μαγνησίᾳ τῇ πρὸς Σιπύλῳ τῆς Ἀσίας νικᾷ τε καὶ εἰς φυγὴν τρέπει. Κοινωνὸς δὲ αὐτῷ ταύτης ἐγένετο τῆς μάχης Εὐμενὴς Ἀττάλου, τοῦ τῆς Ἀσίας βασιλέως ἀδελφός, ὃς ἐπώνυμον ἑαυτῷ πόλιν ἐδείματο, τὸ Εὐμένιον. Ἐν ταύτῃ τῇ μάχῃ πέντε μυριάσι πεζομάχων καὶ τρισχιλίοις ἱππεῦσιν ἥττων ὁ βασιλικὸς ἐγένετο στρατός. Αἰτεῖ γοῦν εἰρήνην Ἀντίοχος, καὶ δί-

δ

2. *ὑποσπόνδους* Ι : *ὑποσπον* ΑΜ : *ὑπὸ σπονδ* Σ : *ὑπὸ σπονδαῖς* Δ  3. *αὐτῷ* Π : *αὐτῶν* Δ  6. *ἀνήφθη* ΙΣΔ : *ἀνεφύη* ΑΜ  7. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ *Μάρκος* ΑΣ : *Μάρκιος* ΜΙΔ  8. *Καρχηδόνος* ΙΣΔ : *Καλχηδόνος* ΑΜ  *πεφευγὼς ἐκ τῆς Καρχηδόνος* τὸ δεύτερον γραφέντα εἶτα διεγράφησαν Δ  10. *Μακεδόνων βασιλεὺς* ἔγραψα : *Μακεδόνων* Π : *Μακεδὼν* Δ  *γίγνεται* Δ : *γίνεται* Π

15. *τούτους* Π : *τούτους δὲ* Δ  *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ  16. *αὐτοῦ* Μ : *αὐτῷ* Π  17. *Λέλιος* Π : Γραπτέον *Λαίλιος*  18. *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ  18-19. *ναυμαχία* ἐκ τοῦ *ναυμαχίαν* διωρθωθέντος τοῦ *ν* Μ  20-21. *Σιπύλῳ* ΙΣΔ : *πύλῳ* ἐκ τοῦ *πύλας*. Αἱ διορθώσεις τῇ δευτέρᾳ χειρὶ Α : **πύλῳ* μετὰ κενὸν δύο γραμμάτων, τοῦ ἀστερίσκου ἐπαναλαμβανομένου ἐν τῇ ᾤᾳ χειρὶ νεωτέρᾳ χωρὶς νὰ γραφῇ τι ἄλλο ἐν αὐτῇ Μ  22. *Εὐμενὴς* Π. Γραπτέον *Εὐμένης*

24. *τῇ* Π : *δὲ τῇ* Δ

Ε.&Σ. της Κ.Ι.Π. ΙΩΑΝΝΙΝΑ 2006

δῶσιν ἡ σύγκλητος ἐφ' αἷς καὶ πρότερον προὔτεινε συνθήκαις, οὐ βαρύνουσα τὰς σπονδὰς ὡς ἡττημένῳ. Αἱ συνθῆκαι δὲ εἶχον ὧδε· τῆς μὲν Εὐρώπης αὐτὸν καὶ τῆς Ἀσίας ἀποχωρεῖν ἁπάσης, μένειν δὲ ἐπὶ τῶν ἐντὸς τοῦ Ταύρου πρὸς ἀνίσχοντα ἥλιον, εἰσενέγκαι δὲ μυρία τάλαντα καὶ ὁμήρους εἴκοσι παραδοῦναι, τόν τε Ἀννίβαν ἐκδοῦναι ὡς τῶν ταραχῶν ἐκείνῳ τε καὶ αὐτοῖς αἰτιώτατον. Τὰ μὲν πρὸς Ἀντίοχον τάδε. Εὐμενεῖ δὲ τῆς συμμαχίας χάριν ἐδωρήθησαν αἱ πόλεις τῆς Ἀσίας, ἃς ἐξελελοίπει κατὰ τὰς σπονδὰς Ἀντίοχος. Ῥοδίοις δὲ, καὶ αὐτοῖς συμμεμαχηκόσι, πολλὰς τῶν πόλεων ὑπακούειν ἐπετάχθησαν. Ὁ δὲ Σκιπίων ἐπὶ τούτοις τοῖς ἔργοις ἐθριάμβευσε, κτησάμενος καὶ αὐτὸς ἀπὸ τῶν κατορθωθέντων ὄνομα· τοῦτο δὲ ἦν Ἀσιατικός.

5. Σπουρίου δὲ Ποστουμίου Ἀλβίνου καὶ Κόντου Μαρκίου Φιλίππου τὴν ὑπατείαν εἰσδεξαμένων, Φούλβιος μὲν κατὰ Αἰτωλῶν ἐθριάμβευσεν· Ἀννίβας δὲ, ἀσθενέστερον τὸν Ἀντίοχον ὁρῶν, καταφεύγει πρὸς Προυσίαν, τὸν Βιθυνῶν βασιλέα. Αἰτούντων δὲ αὐτὸν Ῥωμαίων διὰ τοῦ Φλαμινίου, παραχρῆμα ἐξεδόθη, καὶ φόβῳ τῆς τιμωρίας φάρμακον σπάσας ἀποθνήσκει· καὶ θάπτουσιν αὐτὸν ἐν Λιβύσσῃ τῆς Βιθυνίας χωρίῳ, καὶ ὁ τάφος ἐς τόδε ὁρᾶται.

6. Κατὰ τοῦτον τὸν χρόνον Φίλιππος ἐτελεύτησεν ὁ βασιλεὺς τῆς Μακεδονίας. Ὁ δὲ τούτου παῖς· Περσεὺς ἦν ὄνομα αὐτῷ· ἐτυράννησε κατὰ Ῥωμαίων, πολλὴν συλλέξας στρατιὰν συμμαχικόν τε οὐ μικρόν· Κότυν τε γὰρ τὸν Θρᾳκῶν βασιλέα καὶ Γέντιον τὸν Ἰλλυριῶν ἐπεκέκλητο. Παρασκευὴ τοίνυν ἦν ἑκατέρωθεν ἅπασα, Ῥωμαίοις ἐπικουρούντων Εὐμενοῦς τε, ὃς τῆς Ἀσίας ἐκράτει, καὶ τοῦ Καππαδοκῶν βασιλέως Ἀριαράθου καὶ τοῦ Συρίας Ἀντιόχου καὶ Πτολεμαίου τοῦ Αἰγύπτου καὶ Μασινίσσου τοῦ Νουμίδου. Προυσίας γὰρ, εἰ καὶ κηδεστὴς ἦν ἐπ' ἀδελφῇ τοῦ Περσέως, ἑκατέροις γε ὅμως αὐτὸν ἴσον παρέσχεν. Ἡγεῖτο δὲ τῆς ῥωμαϊκῆς στρατιᾶς Πούβλιος Λικίνιος

3. *μένειν* Π : *μένει* Μ   7. *Εὐμενεῖ* Π. Γραπτέον *Εὐμένει*   10. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ   12. *Ποστουμίου* ΙΣΔ : *ποστουμίου* ΑΜ   *Μαρκίου* ΣΔ : *Μάρκου* ΑΜΙ   15. *τὸν* Π : *τὸν* ἐκ τοῦ *τῶν* Α   18. *τάφος* Π : *τάφος* ἐκ τοῦ *τάφως* Μ   20-21. *ἐτυράννησε* Π : *ἐτυράννησε* ἐκ τοῦ *ἐτυράννισε* Μ   22. *τὸν Ἰλ.* Π : *τῶν Ἰλ.* ἀλλ ἀντὶ τοῦ ω εἶχαν ἀρχίσει γράφων ο Α   22-23. *Ἰλλυριῶν* Π : *Ἰλλυρικῶν* Δ   23. *ἐπεκέκλητο* ΑΜΙ : *ὑπεκέκλητο* ΣΔ   24. *Εὐμενοῦς* Π. Γραπτέον *Εὐμένους*   25. *Ἀριαράθου* ἔγραψα. Ἴδε κατωτέρω ἐν κεφ. 20 : *Ἀριαράτου* Π   *τοῦ* ἔγραψα : *τῆς* ἐκ τοῦ τὸ πρῶτον ἀρξαμένου *τοῦ* Α : *τῆς* Π   26. *Νουμίδου* Π : *Νουμιδῶν* Σ   27. *γε* Π : *γέ* Μ   *αὐτὸν* Α : *αὐτὸν* Π   28. *Λικίνιος* Π : *λικίννιος* Ι

ΙΩΑΝΝΙΝΑ 2006

ὕπατος, τοῦτον αὐτῷ τὸν πόλεμον ἀποκληρώσαντος τοῦ δήμου. Καὶ νικᾶται τῇ μάχῃ, καίτοι νενικηκὼς ὁ Περσεὺς εἰρήνην ἐπαγγείλας παρὰ τῶν Ῥωμαίων διήμαρτεν. Ὁ γὰρ δῆμος οὐκ ἔφη δώσειν, εἰ μὴ καὶ αὐτὸς ἑαυτὸν καὶ τοὺς αὐτοῦ πάντας ἐκδοίη τοὺς αὐτῷ παραστησομένους. Δεύτερος οὖν ἐπ᾽ αὐτὸν πέμπεται Λούκιος Αἰμίλιος Παῦλος καὶ Γάϊος Ἄννιος ἑτέρῳ στρατεύματι ἐπὶ τὸν Ἰλλυριὸν Γέντιον. Ὁ μὲν οὖν Γέντιος ἅμα τε συνέμιξε καὶ ἡττήθη, καὶ τοῖς Ῥωμαίοις ἑαυτὸν παρέδωκεν αὐτῇ μητρὶ καὶ γαμετῇ καὶ παισὶ δύο καὶ δὴ καὶ ἀδελφῷ· καὶ τὸ ἔθνος πᾶν ἐκτήθη. Ἐγένετο δὲ τὸ ἔργον ἡμέραις τριάκοντα, ἔφθασέ τε τὴν τῆς συμπλοκῆς ἡ τῆς νίκης ἀκοή.

7. Παῦλος δὲ τρίτῃ τοῦ μηνὸς τοῦ Σεπτεμβρίου συμμίξας τῷ Περσεῖ διέφθειρε μὲν αὐτοῦ χιλιάδας εἴκοσι τοῦ πεζοῦ, ἐκεῖνον δὲ ἐδίωξε μετὰ τῆς ἵππου αὐτοῦ, οὐδὲ ἑκατὸν ἀποβαλὼν τῶν μαχομένων. Αἱ μὲν οὖν πόλεις εὐθὺς προσεχώρησαν Ῥωμαίοις, ὁ Περσεὺς δὲ καὶ ὑπὸ τῶν συμπεφευγόντων καταληφθεὶς ἑαυτὸν παρέδωκε Ῥωμαίοις. Καὶ ὁ Παῦλος οὐχ ὡς ἡττημένον οἶδεν, ἀλλὰ καὶ προσπίπτοντα πρὸς τὰ γόνατα ἀνώρθωσε καὶ καθέδρας ἠξίωσε τῆς αὐτοῦ καὶ τῆς ἄλλης μετέδωκε τιμῆς. Ἐντεῦθεν Ἰλλυριοί τε καὶ Μακεδόνες ὑπὸ Ῥωμαίοις ἐτέλουν ὅροις τοῖσδε· εἶναι μὲν αὐτοὺς αὐτονόμους, τῇ πόλει δὲ τῇ Ῥωμαίων εἰσφέρειν ὧν τοῖς βασιλεῦσιν εἰσέφερον μέρος ἥμισυ· πείθειν γὰρ ἠβούλοντο Ῥωμαῖοι τοὺς ὑπηκόους ὡς οὐκ ἐπιθυμοῦσι χρημάτων. Τοὺς μὲν οὖν ὅρους τούτους ἐν κοινῷ τῶν πανταχόθεν πρέσβεων ἀπήγγειλεν ὁ Παῦλος, ἐκάλεσέ τε αὐτοὺς εἰς εὐωχίαν, φάσκων χρῆναι καὶ νικᾶν τε ὅπλοις καὶ νενικημένους ἑστιᾶν.

8. Ἑβδομήκοντα δὲ τῶν Ἠπειρωτικῶν πόλεων, ἀντιταττομένας ἔτι Ῥωμαίοις, εἷλε πολιορκίᾳ. Καὶ τὴν ἐκ τοῦ πολέμου λείαν διένειμε τῷ στρατῷ, σὺν μεγίστῃ τε εἰς τὴν Ῥώμην ἐπανῆκε πομπῇ, νεὼς ἐπιβεβηκὼς μακεδονικῆς, ᾗ τοῦ βασιλεύσαντος ἦν Περσέως παμμεγέ-

2. *νικᾶται* ΙΣΔ : *νικᾷ τε* Μ : *νικᾷ τὲ* Α  *τῇ μάχῃ* Π : *τῇ μάχῃ ἐκ τῶν τὴν μάχην* Μ  4. *αὐτοῦ* Π : *αὐτοῦ* Δ  *τοὺς* ἔγραψα : *τοῖς* Π  *αὐτῷ* ΑΙ : *αὐτὸ* Σ : *αὐτοὺς* ΜΔ  4-5. *παραστησάμενος* ἔγραψα : *παραστησαμένοις* Π  5. *Αἰμίλιος* ΙΣΔ : *αἰμίλιος* ΑΜ  8. *αὐτῇ* ΑΙΣ : *αὐτὴ* Μ : *σὺν τῇ αὐτοῦ* Δ  10. *ἔφθασέ τε* ΣΔ : *ἔφθασε τὲ* ΑΜΙ  11. *Σεπτεμβρίου* Π : *σεπτεβρίου* τοῦ *εβ* γραφέντος ἐπὶ ἑτέρων γραμμάτων διαξεσθέντων Μ  17. *αὐτοῦ* ἔγραψα : *αὐτοῦ* Π

18. *Ἰλλυριοί* ΛΣ : *ἰλλυρϊοί* ἐκ τοῦ *ἰλλυρίοι* Μ : *ἰλλύριοι* ΙΔ  19. *τοῖσδε* Π : *τοῖς δὲ* Μ  23. *ἐκάλεσέ τε* Δ : *ἐκάλεσε τὲ* Π  24. *νενικημένους* Π : *τοὺς νενικημένους* Δ

Ε.Γ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

θης, ὡς δεκαπέντε χωρεῖν ἐρέτας ἐξ ἀμφοτέρων τῶν πλευρῶν. Καὶ ἀποβὰς ἐθριάμβευσεν ἐφ' ἅρματος χρυσοῦ, τοῖς δύο παισὶ περιεστοιχισμένος, προτρεχόντων τοῦ ἅρματος αὐτοῦ Περσέως, πέντε καὶ τεσσαράκοντα γεγονότος ἐνιαυτούς, καὶ υἱέων δύο. Ἐδόθη δὲ καὶ Ἀνικίῳ κατὰ τῶν Ἰλλυριῶν θρίαμβος, οὗ καὶ αὐτοῦ προεπόμπευσαν Γέντιός τε καὶ ὁ ἀδελφὸς Γεντίου καὶ οἱ παῖδες. Τούτων τῶν θριάμβων μετέσχον εἰς τὴν Ῥώμην ἀφικόμενοι Ἄτταλός τε καὶ Εὐμενὴς ἐκ τῆς Ἀσίας καὶ Προυσίας ἐκ τῆς Βιθυνίας δῶρά τε προσεκόμισαν, ἃ προσιέμενοι Ῥωμαῖοι προσέταξαν ἐναποτεθῆναι τῷ Καπιτωλίῳ. Προυσίας δὲ καὶ τὸν υἱέα τὸν ἑαυτοῦ Νικομήδη παρακατέθετο τῷ δήμῳ.

9. Τῷ δὲ ἑξῆς ἐνιαυτῷ Λεύκιος Μέμμιος τοὺς Λυσιτανοὺς ἐνίκησε πολέμῳ καὶ μετὰ τοῦτο Μάρκελλος.

10. Κἀντεῦθεν ὁ τρίτος κατὰ τῶν Ἄφρων ἐκινήθη πόλεμος, ἑξακοσιοστῷ μὲν καὶ ἑνὶ τῆς πόλεως ἔτει, πεντηκοστῷ δὲ καὶ δευτέρῳ μετὰ τὴν τοῦ δευτέρου τοῦ κατὰ Ἀννίβα πολέμου λύσιν. Ὕπατοι δὲ χειροτονηθέντες Λούκιος Μάλλιος Κηνσωρῖνος καὶ Μάρκος Μανίλιος ἐπὶ τὴν Ἀφρικὴν ἐξέπλευσαν, καὶ τῇ Καρχηδόνι προσεκάθηντο πολιορκοῦντες· ἡγεῖτο δὲ Καρχηδονίων τοῦ πεζοῦ μὲν Ἀσδρούβας, τῶν δὲ ἱππέων Φαμέας. Συνῆν δὲ τοῖς ὑπάτοις ἀρχήν τινα στρατιωτικὴν ἔχων Σκιπίων, ὁ Σκιπίωνος ἔκγονος τοῦ κληθέντος Ἀφρικανοῦ, οὗ τοσοῦτον ἦν παρὰ τοῖς πολεμίοις δέος καὶ τοσοῦτον τῆς ἀνδρείας θαῦμα ὡς βουλευομένου τε ἄριστα καὶ ἐπιτελοῦντος ἔργοις τὰ δοκοῦντα ὀξέως, ὥστε τοὺς ὑπάτους αὐτοὺς κοινωνὸν μὲν αὐτὸν καὶ βουλῆς καὶ ἐγχειρημάτων ἔχειν, αὐτῷ δὲ χρῆσθαι πρὸς τὰ πρακτέα, ἐπειδήπερ ἑώρων τοὺς πολεμίους τὴν πρὸς αὐτὸν ἐκκλίνοντας συμπλοκήν.

11. Μασινίσσας γοῦν ὁ τῶν Νουμίδων βασιλεύς, τὴν πρὸς Ῥω-

3-4. *τεσσαράκοντα* Ι : *τετταράκοντα* Π 4. *Ἀνικίῳ* ΙΣΔ : *ἀννίῳ* ΑΜ 5. *Γέντιός τε* Δ : *Γέντιος τέ* Π 7. *Ἄτταλός τε* Δ : *Ἄτταλος τέ* Π *Εὐμενὴς* Π. Γραπτέον *Εὐμένης* 8. *δῶρά τε* Δ : *δῶρα τέ* Π 9. *ἐναποτεθῆναι* Π : *ἐναποτεθῆναι* τοῦ ε γραφέντος ἐπὶ ἑτέρου γράμματος διαξεσθέντος Μ *Καπιτωλίῳ* Δ (Ἴδε ἀνωτέρω σ. 11, 23. 12, 24, 18, 5) : *Καπετωλίῳ* Π 12. τοῦτο Π : τοῦτον ΜΣ 13. *ἐκινήθη* ΙΔΣ : *ἐνικήθη* ΑΜ 13-14. *ἑξακοσιοστῷ* Π : *ἑξακοσιοστῷ* Α 16. *Κηνσωρῖνος* ΙΣΔ : *κηνσωρῖνος* ΑΜ 20. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ 21. *τῆς* ΙΣ : *παρὰ τῆς* ΑΜΔ *ἀνδρείας* ΑΜΣ : *ἀνδρίας* ΙΔ 23. *αὐτὸν* ΣΔ : *αὐτον* Ι : *αὐτῶν* ΑΜ 25. *αὐτὸν* Π : *αὐτῶν* διορθουμένου τῇ δευτέρᾳ χειρὶ εἰς *αὐτὸν* Α 27. Ἐν τῷ φχ' *μασανάσης ὁ τῶν νομάδων ἡγεμὼν ἐτῶν* ̄ϞΖ' ΑΜΣ *Νουμίδων* ΑΜΣ : *Νουμιδῶν* ΙΔ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μαίους φιλίαν ἔτεσιν ἑξήκοντα τετηρηκώς, ἡνίκα ἀπέθνησκεν, ἐνενηκοστὸν καὶ ἕβδομον τῆς ἡλικίας πεπληρωκὼς ἔτος, Σκιπίωνα ἱκέτευσε τοῖς παισὶ τοῖς αὐτοῦ· τέσσαρες οὗτοι ἦσαν καὶ τετταράκοντα· τὴν βασιλείαν διελεῖν.

12. Αὕτη τοῦ Σκιπίωνος ἡ δόξα τὸν δῆμον ἔπεισε τὴν ὑπατείαν ἐπ' αὐτὸν ἐπαγαγεῖν, τῆς νεότητος οὔπω τοῦτο ἐπιτρεπούσης. Καὶ θᾶττον ἐλπίδος αἱρεῖ τὴν Καρχηδόνα καὶ κατασκάπτει, καὶ τὸν κόσμον ἅπαντα τῆς πόλεως τὸν ἐκ πολέμων αὐτῇ συνειλεγμένον λαβών, τοῦτον εὐθὺς ἀπέδωκε τῶν πόλεων ταῖς ἀφῃρημέναις. Αὐτὸς δὲ ἐπανῆλθε· καὶ δοθέντος αὐτῷ θριάμβου, προςετέθη καὶ τὸ ἐπώνυμον τοῦ πάππου· Ἀφρικανὸς γάρ τοι νέος καὶ οὗτος ἐπεκλήθη. Ἀπώλετο τοίνυν ἡ Καρχηδὼν ἑπτακοσιοστῷ πέμπτῳ μετὰ τὸν συνοικισμὸν ἔτει.

13. Κατὰ τούτους τοὺς χρόνους ἀνήρ τις Ψευδοφίλιππος ἀντῆρε χεῖρας Ῥωμαίοις, καὶ τὸν πραίτωρα Ἰουβέντιον, ἐπ' αὐτὸν χωρήσαντα μετὰ τοῦ στρατεύματος, ἐνίκησε τῇ μάχῃ καὶ πανωλεθρίᾳ διέφθειρεν. Ἀλλὰ Μέτελλος δεύτερος ἐπελθὼν ἐνίκησέ τε αὐτόν, καὶ πεντακιςχιλίους ἀνελὼν ἀνεκτήσατο τὴν Μακεδονίαν, ὑφ' ἑαυτῷ τε τὸν Ψευδοφίλιππον ἐποίησε.

14. Τότε καὶ Κορίνθῳ, πόλει τῶν Ἑλλήνων ἐπιφανεστάτῃ, πόλεμος ἐπηνέχθη ῥωμαϊκός, ἐπειδὴ κατὰ τῶν ἐκ Ῥώμης πρεσβευτῶν πεπαρῳνήκεσαν· καὶ Μούμμιος ἐκπεμφθεὶς εἷλε ταύτην καὶ κατέσκαψε. Τρεῖς τε ἅμα θρίαμβοι, θέαμα καινόν, ἐφάνησαν ἐπὶ τῆς Ῥώμης, ἐξ Ἀφρικῆς μὲν Σκιπίωνος, οὗ τῶν ἁρμάτων Ἀσδρούβας ἡγεῖτο, Μετέλλου δὲ ἐκ Μακεδονίας, οὗ προέτρεχεν Ἀνδρίσκος· τοῦτο γὰρ ἦν ὄνομα τῷ Ψευδοφιλίππῳ· κατὰ Κορινθίων δὲ Μουμμίου, πολλῶν

1. *ἑξήκοντα* Π : *ἑξήκοντα* Μ *ἀπέθνησκεν* Π : *ἐπέθνησκεν* Μ (β' α) 2. *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ 3. *οὗτοι ἦσαν* Π : *οὗτοι ἦσαν* 5. *τοῦ* ΑΜΣ : *δὲ τοῦ* ΙΔ *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ 7. *θᾶττον* Π : *θάττον* Μ *Καρχηδόνα* Π : *καρχηδόνα ἐκ τοῦ καλχηδόνα* Α 8. *τὸν* Π : *τὸν διορθωθὲν τῇ δευτέρᾳ χειρὶ εἰς τῶν* Α *πολέμων* Π : *πολέμων γραφέντος ω τῇ τε πρώτῃ χειρὶ καὶ τῇ δευτέρᾳ* Α *συνειλεγμένον* ΙΣΔ : *συνειλεγμένων* ΑΜ 10-11. *καὶ τὸ ἐπώνυμον—ἐπεκλήθη* Π : *καὶ τὸ ἐπώνυμον—ἐπεκλήθη γραφέντα καὶ δεύτερον διεγράφησαν* Μ 12. *ἑπτακοσιοστῷ* Π : *ἑπτακοσιοστῷ* Α 11. Ἐν τῷ ῳα' *ἀπὸ κτίσεως ῥώμης ἕως τελείας κατασκαφῆς τῆς καρχηδόνος ἔτη* ψε ΑΜΣ

14. *κατὰ* ΣΔ : *μετὰ* ΑΜΙ 17. *ἐπελθὼν* ΣΔ : *ἀπελθὼν* ΑΜΙ *ἐνίκησέ τε* Δ : *ἐνίκησε τὲ* Π 22-23. *κατέσκαψε* Π : *κατάσκαψε* Μ 24. *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΓΑ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αὐτὸν κατακοσμούντων, χαλκῶν τε ἀγαλμάτων καὶ σανίδων γραφαῖς ἐξησκημένων.

15. Οὐ μὴν πάντα τὰ Μακεδόνων ἡσύχαζεν, ἀλλ' αὖθις ἕτερος Ψευδοπερσεύς, παῖδα λέγων ἑαυτὸν Περσέως, οἰκετικὴν συλλέξας στρατιάν, ἐπεχείρει πολεμεῖν, ὥςτε αὐτοὺς τοὺς ὁπλίτας εἰς ἑξακιςχιλίους τελεῖν πρὸς τοῖς μυρίοις· ἀλλὰ τοῦτον ἔπαυσε μάχῃ νικήσας Τρεμέλλιος.

16. Κατὰ τὸν αὐτὸν δὲ χρόνον Μέτελλος ἐν Ἱσπανίᾳ πρὸς Κελτοὺς Ἴβηρας ἐμαχέσατο γενναίως. Καὶ παραδίδωσι τήν τε ἀρχὴν καὶ τὸν πόλεμον Πομπηΐῳ. Εἶτ' ἐφεξῆς αὐτός τε καὶ Πομπήιος καὶ Κόντος Σκηπίων ἐπὶ τὸν Πουρίαθον ἐξεπέμφθησαν, ὃς ἐν τῇ Λυσιτανίᾳ κατὰ Ῥωμαίων ἤρξατο πόλεμον καὶ τοὺς Ἱσπανοὺς ἀνηρέθισε, τέταρτον ἤδη καὶ δέκατον ἔτος ἡσυχάσαντας. Ἦν δὲ ὁ Πουρίαθος ποιμήν, εἶτα λῃστρικὸν μετῆλθε βίον· τελευτῶν δὲ εἰς τοῦτο ἦλθε παρανοίας, ὡς ἐν νῷ λαβεῖν ἐλευθερῶσαι δύνασθαι τοὺς Ἱσπανοὺς ἀπὸ τῶν Ῥωμαίων. Ὁ μὲν οὖν ὑπὸ τῶν οἰκείων ἀνῃρέθη. Σκηπίων δὲ τοῖς ἀνελοῦσι, μισθὸν ἐπαγγέλλουσιν, ἀπεκρίνατο μηδαμῶς ἀρέσκειν Ῥωμαίοις ἀναιρεῖσθαι τὸν ἡγούμενον ὑπὸ τῶν ὑπηκόων.

17. Πομπήιος δὲ τῇ πρὸς Νουμαντίνους ἡττηθεὶς μάχῃ σπονδὰς ἐπονειδίστους ἐποιήσατο. Καὶ Ὀστίλιος δὲ Μαγκῖνος ὁ μετ' αὐτὸν ὕπατος, ἐπαναλαβὼν τὴν μάχην, χαλεπώτερόν τε ἡττηθεὶς ἢ Πομπήιος, ἐπὶ σπονδαῖς ἀνεχώρησεν αἰσχροτέραις, ὡς τὸν δῆμον τὸν τῶν Ῥωμαίων μήτε δέξασθαι τὰς σπονδὰς καὶ τὸν Μαγκῖνον παραδοῦναι τοῖς πολεμίοις, πεισόμενον ὅ τι ἂν αὐτοῖς δοκῇ. Ἐν τοσαύτῃ τοίνυν

3. *ἡσύχαζεν* Π : *ἡσύχαζε* Μ  5. *αὐτοὺς* Π : *αὐτῷ* Δ  *ὁπλίτας* Π : *ὁπλίτας* ἐκ τοῦ *ὁπλήτας* Μ  8. *Μέτελλος* ΙΣΔ : *μετέλλος* ΑΜ  *Ἱσπανίᾳ* ΣΔ : *ἰσπανία* ΑΜΙ  11. *Σκηπίων* Π : *Κηπίων* ὀρθῶς Δ  *Πουρίαθον* Δ : *Πουρίανθον* ἐνταῦθα, ἀλλὰ *Πουρίαθος* κατωτέρω στ. 13 Π  12. *πόλεμον* Π : *πολέμου* ὀρθῶς Δ  *Ἱσπανοὺς* ΣΔ : *ἰσπανοὺς* ΑΜΙ  14. *παρανοίας* ΙΣΔ : *παραννοίας* Α : *παραννοίας* τοῦ δευτέρου ν γεγραμμένου ἐπὶ ἀδιαγνώστου ἄλλου γράμματος, διαγραφέντος τῇ δευτέρᾳ χειρὶ Μ  *ὡς* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *ὡς* πρόςθετον ἄνωθεν τῇ δευτέρᾳ χειρὶ Μ  15. *ἐν νῷ* ΙΔ : *ἐνῷ* Α : *ἐννῷ* διωρθωμένον τῇ δευτέρᾳ χειρὶ εἰς *ἐν ῷ* Μ  15. *Ἱσπανοὺς* ΙΣΔ : *ἱσπανοὺς* ΑΜ  16. *ὑπὸ* Π : *ἀπὸ* Δ  *Σκηπίων* ΑΜΣ : *Σκιπίων* Ι : *Κηπίων* ὀρθῶς Δ  17. *ἀρέσκειν* Π : *ἀρέσκει* Μ  20. *Μαγκῖνος* Π : *Μανκῖνος* Δ  21. *ἐπαναλαβὼν* Ι : *ἀναλαβὼν* Π  22. *ἐπὶ σπονδαῖς* Π : *ἐπισπονδαῖς* διορθωθὲν τῇ δευτέρᾳ χειρὶ εἰς *ἐπὶ σπονδαῖς* Λ  23. *Μαγκῖνον* ΣΔ : *μαγκῖνον* ΑΜΙ



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Χ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀτιμίᾳ διπλῇ καὶ ἥττης καὶ συνθήκης ἐκπέμπεται Σκιπίων ὁ καλούμενος Ἀφρικανὸς μετὰ τῆς ὑπατικῆς ἐξουσίας. Οὗτος πρότερον μὲν ἐπεμελήθη τῆς στρατιᾶς, ὑπὸ τοῖς προτέροις ἡγεμόσι διεφθαρμένης, γυμνασίοις τε αὐτοὺς καταμελετῶν καὶ χωρὶς ὠμότητος καὶ τιμωρίας εἰς τὸ δέον ἐπαναγαγών. Ὡς δὲ ἥρμοσε τοὺς ἄνδρας, ἐπῆλθε τῶν πόλεων ταῖς ἀποστάσαις, καὶ τοὺς μὲν σφᾶς αὐτοὺς παραδόντας, τοὺς δὲ πολιορκίαις ὑπηγάγετο. Τελευταῖον δὲ ἐπὶ τὸ κεφάλαιον ἦλθε τοῦ πολέμου, τὴν Νουμαντίαν, καὶ προσκαθεσθεὶς λιμῷ τε πιέσας τοὺς ἔνδον, τήν τε πόλιν εἷλε καὶ κατέσκαπτε καὶ τὸ ἔθνος ἅπαν ἀπέδωκε τῇ Ῥώμῃ.

18. Ἐν τούτῳ τῷ χρόνῳ τελευτᾷ τῆς Ἀσίας ὁ βασιλεὺς Ἄτταλος ὁ Εὐμένους ἀδελφὸς, κληρονόμῳ χρησάμενος τῷ δήμῳ Ῥωμαίων, καὶ γίγνεται κύριος τῆς Ἀσίας ὁ δῆμος καὶ τῷ τῆς διαδοχῆς δικαίῳ.

19. Καὶ Βροῦτος δὲ κατὰ Γάλλων καὶ Λυσιτανῶν ἐνδοξότατα ἐθριάμβευσε καὶ Σκιπίων κατὰ Νουμαντίνων, τεσσαρεσκαίδεκα ἔτεσιν ὕστερον τοῦ κατὰ Ἄφρων θριάμβου.

20. Κατὰ τοῦτον τὸν χρόνον Ἀριστόνικος, ἐκ παλλακῆς παῖς Εὐμενοῦς, ὃς ἦν ἀδελφὸς Ἀττάλου, πόλεμον ἤρατο πρὸς Ῥωμαίους ἐπὶ τῆς Ἀσίας αὐτῆς. Καὶ πεμφθεὶς ἐπ' αὐτὸν Λικίνιος Κράσσος μετὰ πολλοῦ συμμαχικοῦ· Νικομήδης τε γὰρ Βιθυνίας βασιλεὺς καὶ Μιθριδάτης ὁ Πόντου, πρὸς ὃν μικρὸν ὕστερον μέγιστος καὶ πολυχρόνιος συνέστη πόλεμος, καὶ Ἀριαράθης ὁ Καππαδοκίας καὶ Πυλαιμένης ὁ Παφλαγονίας ἐπίκουροι παρῆσαν· ἡττήθη δὲ ὁ Κράσσος καὶ ἔπεσεν ἐν τῇ παρατάξει. Καὶ τὴν μὲν κεφαλὴν ἀποτεμόντες οἱ δορυφόροι προσεκόμισαν Ἀριστονίκῳ, τὸ σῶμα δὲ ἐκεῖνος προσέταξε ταφῆναι, καὶ ἡ Σμύρνα τὸν τάφον ἐδέξατο. Ἐκδέχεται δὴ καὶ τὴν ἀρχὴν καὶ τὸν πόλεμον ὁ ὕπατος Περπερνᾶς, καὶ τὰ πεπραγμένα

1. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ   5. *ἐπαναγαγὼν* ἔγραψα : *ἐπαναγὼν* Ι : *ἐπανάγων* Π   7. *ὑπηγάγετο* Π : *ὑπηγάγετο* τοῦ *ὁ* γραφέντος ἄνωθεν ἄλλου γράμματος διαξεσθέντος Μ   11. *τῷ* Π : *δὲ τῷ* Δ   12. *Εὐμενοῦς* Π. Γραπτέον *Εὐμένους*   13. *γίγνεται* ΙΔ : *γίνεται* ΑΜΣ   14. *Γάλλων* Π. Διώρθωσε *Γαλλαίκων* Δ   15. *Σκιπίων* ΙΔ : *Σκηπίων* ΑΜΣ   *τεσσαρεσκαίδεκα* ΛΣ : *τεσσαρασκαίδεκα* Ι : *τεσσαρασκαίδεκα* ἐκ τοῦ *τέσσαρασκαίδεκα* διαξεσθέντος τοῦ πρώτου τόνου Μ : *τεσσαρασκαίδεκα* Δ   18. *Εὐμενοῦς* Π : Γραπτέον *Εὐμένους*   *ἤρατο* ΑΜΙ : *ἦρατο* ΣΔ   19. *πεμφθεὶς* Π : *πεμφθεὶς* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *πεμφθεῖς* Α. Γραπτέον *ἐπέμφθη* εἰ μὴ ἀπαλειπτέον τὸ ἐν στ. 23 *δὲ*   *Λικίνιος* ΑΙΔ : *Λικίννιος* ΜΣ   *Κράσσος* ΜΣΔ : *Κρᾶσσος* ΙΑ   26-27. *προσέταξε ταφῆναι* Π : *ταφῆναι προσέταξε* Ι   26. *δὴ* ΙΣΔ : *δὲ* ΑΜ

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΤΣΕΤΣΙΟΣ
Ελ.Λ.τ.τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γνοὺς ἠπείχθη πρὸς τὴν Ἀσίαν, καὶ νικήσας τὸν Ἀριστόνικον μάχῃ, κατέκλεισεν ἐν Στρατονίκῃ τῇ πόλει. Πολιορκίᾳ δὲ καὶ ταύτην κἀκεῖνον ἑλών, ἐπανιὼν ἐπὶ τὴν Ῥώμην ἐτελεύτησε. Ῥωμαῖοι δὲ τὸν Ἀριστόνικον δήσαντες εἶτα ἀπέπνιξαν.

**21.** Μετὰ τοῦτον ἧκε τὰ τῆς ὑπατείας ἐπὶ Λούκιον Δίλιον Μέτελλον καὶ Τίτον Κύντιον Φλαμίνιον. Κατὰ τοῦτον Ῥωμαῖοι τὸν ἐνιαυτὸν προσέταξαν οἰκοδομηθῆναι τὴν Καρχηδόνα τὴν νῦν ἔτι φαινομένην, δύο καὶ εἴκοσι ὕστερον ἔτεσι μετὰ τὴν ὑπὸ Σκιπίωνος κατασκαφήν, [καὶ] ἔπεμψαν εἰς αὐτὴν ἐξ αὐτῶν ἀποίκους.

**22.** Ἑξακοσιοστῷ δὲ καὶ εἰκοστῷ ἑβδόμῳ τῆς πόλεως ἔτει Γάϊος Κάσιος Λογγῖνος καὶ Σέξτιος Δομίτιος Ἀλβῖνος ὕπατοι τοῖς ὑπὲρ τὰς Ἄλπεις Γάλλοις ἐπήγαγον πόλεμον καὶ τὴν μεγίστην αὐτῶν πόλιν Ἀράβενναν περιεκαθέσθησαν. Ἡγεῖτο δὲ Γάλλων Βιτούιος. Μαχεσάμενοι τοίνυν περὶ τὸν Ῥοδανὸν ποταμόν, πολὺν μὲν αὐτῶν στρατὸν ἀνεῖλον, τοσαύτης δὲ ἐπελάβοντο λείας, ὥςτε ἐκ τῶν στρεπτῶν, οὓς ἐπὶ τῶν τραχήλων εἶχον οἱ πολέμιοι, πολύν τινα χρυσίου σταθμὸν εἰςπέμψαι Ῥωμαίοις. Βιτούιος δὲ ὁ στρατηγὸς ἁλοὺς μέρος ἐγένετο τοῦ θριάμβου· καὶ ἐπὶ τούτοις τοῖς ἔργοις ἑκάτερος τῶν ὑπάτων ἐθριάμβευσεν.

**23.** Ἐντεῦθεν Πόρκιος Κάτων καὶ Κύντος Μάρκιος Ῥῆξ δέχονται τὴν ἀρχὴν ἑξακοσιοστοῦ καὶ τριακοστοῦ τῆς πόλεως ἔτους. Οὗτοι κατήγαγον ἀποικίαν εἰς Γάλλους Νάρβωνα δειμάμενοι πόλιν. Καὶ μικρὸν ὕστερον οἱ μετὰ τούτους ὕπατοι Κύντος Καικίλιος Μέτελλος καὶ Κύντος Μούκιος Σκαιδολᾶς κατὰ Δαλματῶν ἐθριάμβευσαν.

**24.** Εἶτα πολλοῖς ὕστερον χρόνοις ὁ ὕπατος Κάτων, κατὰ Σκορδίσκων κινήσας πόλεμον, ἡττήθη τε αἰσχρῶς καὶ ἀπεχώρησε.

1. γνοὺς Μ : γνοὺς ἐκ τοῦ γνοὺς μετὰ διάξεσιν Μ   2-3. κἀκεῖνον ΙΑΜ : κἀκεῖνον ΣΔ   5. τοῦτον Π : δὲ τοῦτον Δ   5-6. ἧκε-τοῦτον ἐν συνεχείᾳ τοῦ κειμένου Π : πρόσθετα ἐν τῇ ὤᾳ διὰ παραπεμπτικοῦ σημείου ⊹   Δίλιον Π : Καικίλιον ὀρθῶς Δ   6. Τίτον Π : εἶτον Δ   κατὰ Π : καὶ κατὰ Δ   8. Σκιπίωνος ΙΔ : Σκηπίωνος ΑΜΣ   9. καὶ Δ : λείπει Π   αὐτῶν Π : αὐτῶν Μ   12. Ἐν τῇ ὤᾳ γαλά Δ   13. Ἀράβενναν Π : Ἀρβενναν διώρθωσε Δ   περιεκαθέσθησαν Π : περιεκαθέσθησαν Ι   Βιτούιος Ι : [illegible] Σ : Βιτόνιος ΑΜ : Βιτούιτος διώρθωσε Δ

17. Βιτούιος ΑΜΙ . Βιτούριος Σ : Βιτούιτος διώρθωσε Δ   ἐγένετο Π : ἐγένετον Μ   20. Ἐντεῦθεν Π : Ἐντεῦθεν δὲ Δ   21. ἑξακοσιοστοῦ Π : ἑξακοσιοστοῦ [illegible] τριακοστοῦ Π : [illegible] Ι   οὗτοι Π : οὗτοι δὲ Δ   22. Νάρβωνα ΙΣΔ : Νάρβωνα ΑΜ   [illegible] ΣΔ : πόλιν Π   23. Μέτελλο. ΙΣΔ : [illegible] ΑΜ

24. [illegible] ΣΔ : [illegible] ΑΜΙ. [illegible]   Δαλματῶν ΙΔ : Δαλμάτων ΑΜΣ   25-26. Σκορδίσκων ΙΔ : [illegible] ΑΜΣ

ΙΩΑΝΝΙΝΑ 2006

25. Γαΐου δὲ Καικιλίου Μετέλλου καὶ Γνέου Κάρβωνος ὑπάτων γενομένων, οἱ ἀδελφοὶ Μέτελλοι κατὰ τὴν Ῥώμην ἐθριάμβευσαν, ὁ μὲν κατὰ Σαρδῶν, κατὰ Θρακῶν δὲ ἕτερος. Τότε φήμην κατέλαβε Ῥωμαίους Γάλλων τοὺς καλουμένους Κίμβρους ἔφοδον κατὰ τῆς Ἰταλίας ποιήσασθαι.

26. Κατὰ τὸν αὐτὸν χρόνον, ἤδη Πουβλίου Σκιπίωνος τοῦ Νασίκου καὶ Πουβλίου Καλπουρνίου Βηστίου τὴν ἀρχὴν ὑποδεξαμένων, ὁ πρὸς Ἰουγούρθαν τὸν Νουμίδην ἤρξατο πόλεμος, αἰτίαν ἔχων τὸν Ἱεμψάλου καὶ Μικίψου φόνον, οἳ παῖδες ἦσαν τοῦ βασιλεύσαντος Νουμίδων Μικίψου, φίλου καὶ συμμάχου Ῥωμαίων. Ἐπὶ τοῦτον ὕπατος πέμπεται Καλπούρνιος· καὶ διαφθαρεὶς χρήμασιν αἴσχρότατα πρὸς τὸν Ἰουγούρθαν ἐσπείσατο. Ταύτας οὖν ὁ δῆμος ἀκυρώσας τὰς σπονδάς, πέμπει τὸν ἑξῆς ὕπατον Σπούριον Ποστούμιον Ἀλβῖνον· ἀλλὰ καὶ οὗτος, τῷ ἀδελφῷ τὸ ἔργον ἐπιτρέψας, οὐκ ἀγαθὸν ἔσχε τῆς μάχης τὸ τέλος.

27. Τρίτος ἐξαποστέλλεται Κύντος Καικίλιος Μέτελλος, καὶ τὴν στρατιὰν ἐξ ἀτόπου μελέτης, τῆς ὑπὸ τοῖς προτέροις ὑπάτοις, πρὸς τὸ δέον ἁρμόσας ἐπιεικῶς πάνυ, πολλαῖς τὸν Ἰουγούρθαν ἐνίκησε μάχαις· καὶ τούς τε ἐλέφαντας κατέσφαξεν, οὐκ ὀλίγους ζῶντας ἑλών, τῶν τε πόλεων αὐτῷ προσεχώρησαν αἱ πλείους. Πρὸς αὐτῷ δὲ ὢν τῷ τέλει παύεται τῆς ἀρχῆς ὑπὸ Μαρίου. Γενόμενος δὲ ἐν τοῖς πράγμασιν ὁ Μάριος Ἰουγούρθαν καὶ Βόκχον, τὸν βασιλέα τῶν Μαύρων, σύμμαχον τῷ Ἰουγούρθᾳ γεγενημένον, ἐνίκησε μάχῃ. Καὶ τοῦ μὲν Βόκχου περιέκοψε τὰς δυνάμεις, Ἰουγούρθαν δέ, ἐκδοθέντα παρ᾽ αὐτοῦ τοῖς Ῥωμαίοις, ἐξέπεμψε δι᾽ ἀνδρὸς ἀρίστου Σύλλου, ταμίου τότε ὄντος αὐτῷ τῶν δημοσίων χρημάτων. Μετὰ δὲ ταύτης τῆς νίκης καὶ ἑτέρα συνέβη. Ἰούνιος γὰρ Σιλανός, ὁ Μετέλλου συνύπατος, Κίμβρους νικήσας καὶ Μινούκιος Ῥοῦφος τοὺς Κορδίσκους καὶ Τρι-

1. *Καικιλίου* ΣΔ : *καὶ κιλίου* ΑΜΙ *Γνέου* Π. Γραπτέον *Γναίου* 3. *μὲν* Π : *μὲ'ν* Α *Σαρδῶν* Π. Γραπτέον *Σάρδων* *δὲ* Π : *δὲ ὁ* Δ *τότε* Π : *τότε δὴ* Δ 6. *κατὰ* ΙΣΔ : *καὶ κατὰ* ΑΜ *αὐτὸν* Π : *αὐτὸν δὲ* Δ *Σκιπίωνος* ΙΔ : *Σκηπίωνος* ΑΜΣ 7. *Βηστίου* ΙΔ : *Θηστίου* ΑΜΣ 8. *Νουμίδην* ΙΑΜ : *Νουμίδαν* ΣΔ 9. *Ἱεμψάλου* Δ : *ἱεμψάλου* ΙΑΜ : *ἱεμψάλου* Σ *Μικίψου* Π. Γραπτέον *Ἀδαρβάλου* καθ' ἃ διώρθωσε Δ 10. *Νουμίδων* Π : *Νουμιδῶν* διώρθωσε Δ *τοῦτον* Π : *τοῦτον οὖν* ΔΙ 11. *Καλπούρνιος* ΣΔ : *καρπούρνιος* ΑΜΙ 12. *τὸν* Ι : λείπει Π 16. *τρίτος* Π : *τρίτος δὲ* Δ *Καικίλιος* ΙΣΔ : *καὶ κίλιος* ΑΜ 22. *Βόκχον* Π : *βόκχον τῶν γραμμάτων βοκ γραφέντων μετὰ διάξεσιν ἄλλων* Μ 28. *Κίμβρους* ΙΣΔ : *κιμβρους ἐκ τοῦ σκίμβρους διαξεσθέντος τοῦ σ* Μ : *σκίμβρους* Α *Ῥοῦφος* ΑΣ : *Ῥοῦφος* ΙΜΔ *Κορδίσκους* Π : *Σκορδίσκους* ὀρθῶς Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

δαλλοὺς καὶ Σερβίλλιος Σκιπίων τοὺς Λυσιτανούς, ἐπανῆκον. Θρίαμβοι μὲν κατὰ Ἰουγούρθου καὶ τῷ Μετέλλῳ καὶ τῷ Μαρίῳ παρὰ τῆς πόλεως ἐψηφίσθησαν, ὧν ἐφάνη λαμπρότερος ὁ Μαρίου, Ἰουγούρθαν σὺν τοῖς δύο παισὶ πρὸ τοῦ ἅρματος ἔχων, ὃν δεσμωτηρίῳ παραδόντες οἱ Ῥωμαῖοι διεχρήσαντο.

## ΒΙΒΛΙΟΝ Ε΄.

1. Ὅτε δὲ ὁ πρὸς Ἰουγούρθαν ἐπράττετο πόλεμος, πολλαῖς ἑτέραις μάχαις ἐκράτουν Ῥωμαῖοι διὰ τῶν ὑπάτων. Μανίλιος γὰρ καὶ Σκιπίων Κίμβρους καὶ Τεύτονας καὶ Τουγούρους καὶ Ἄμβρονας· ἔθνη δέ ἐστι ταῦτα Γερμανῶν τε καὶ Γάλλων· κατεπολέμησαν. Οὗτοι μετὰ τοσαύτης ἐπανέστησαν τῷ δήμῳ στρατιᾶς, ὅση ἤνεγκε φόβον οὐχ ἧττω τῆς Ἀννίβου τυραννίδος. Περὶ αὐτῆς γοῦν ἔδεισαν Ῥωμαῖοι τῆς πόλεως. Πολλάκις γοῦν συμμίξαντες καὶ πολλάκις ἡττηθέντες ἔμενον ἔτι πολέμιοι· ἀλλὰ Μάριος μετὰ τὴν κατὰ Ἰουγούρθα νίκην ἐπὶ Κίμβρους καὶ Τεύτονας ἐξεπέμφθη. Καὶ παρασυρομένου τοῦ πολέμου, τρίτον τε αὐτῷ καὶ τέταρτον ἐπισυνήφθη τὰ τῆς ἀρχῆς τοῦ ὑπάτου. Κατὰ δὲ τὴν τετάρτην ὑπατείαν κοινωνὸς αὐτῷ ἦν τῆς ὑπατείας Κύντιος Λουτάντιος Κατοῦλος. Ἄμφω τοίνυν συνέμιξαν τοῖς Κίμβροις, καὶ δύο νικῶσι μάχας οὕτω σφοδρῶς, ὡς εἴκοσι μὲν μυριάδας ἀνδρῶν πεσεῖν, αἰχμαλώτων δὲ ὀκτὼ γενέσθαι καὶ προσέτι Τευτόδολον τὸν στρατηγὸν τῶν πολεμίων. Ὑπὲρ ταύτης οὖν τῆς νίκης καὶ πέμπτον αὐτῷ τὰ τῆς ἀρχῆς ἐψηφίσθη, καὶ ταῦτα ἀπόντι.

2. Οὐ μὴν ἡσύχασαν Κίμβροι καὶ Τεύτονες, ἀλλ' ἔτι τῷ πλήθει κρατοῦντες· οὐχ ἧττον γὰρ ἦν τοῦ διεφθαρμένου τὸ λειπόμενον· τὰ σφέτερα αὐτῶν ἀφέντες περιῆλθον ἐπὶ τὴν Ἰταλίαν. Ὑπὸ τῶν αὐτῶν δὲ αὖθις, Μαρίου τε καὶ Κατούλου, κατεπολεμήθησαν. Ἔνθα δὴ καὶ

1. *Σκιπίων* I : *Σκηπίων* ΑΜΣ : *Κηπίων* ὀρθῶς Δ  7. *Μανίλιος* ΙΣΔ : *μανήλιος* ΑΜ. Γραπτέον *Μάλλιος*  *Σκιπίων* I : *Σκηπίων* ΑΜΣ : *Κηπίων* ὀρθῶς Δ
8. *Τουγούρους* Π : τουγούρους μετὰ διάξεσιν τινων γραμμάτων Μ  *Ἄμβρονας* Π : *Ἄμβρωνας* διώρθωσε Δ  9. *οὗτοι* Π : *οὗτοι γὰρ* Δ  10. *στρατιᾶς* Π : *στρατιᾶς* ἐκ τοῦ *στρατιὰς* Δ  11. *περὶ* Π : *καὶ περὶ* Δ  *γοῦν* ΑΜΙ : λείπει ΣΔ  13. *Ἰουγούρθα* Π : *Ἰουγούρθαν* Δ  17. *Λουτάντιος* Ι : *Λουτάντιος* ΑΣ : *Λουτάντιος* τοῦ πρώτου τ γραφέντος μετὰ διάξεσιν ἄλλου γράμματος Μ : *Λουτάτιος* διώρθωσε Δ  *Κατοῦλος* Π. Γραπτέον *Κάτουλος*  19. *Τευτόβολον* Π. Γραπτέον *Τευτόβοδον*  *τὸν* Π : *τὸν* ἐκ τοῦ *τῶν* Δ  25. *τε καὶ* Π : *τε* Μ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

λαμπρότερον ἐγένετο τὸ ἔργον Κατούλου. Καὶ πίπτουσιν ἐν τῇ τελευταίᾳ μάχῃ δέκα καὶ τέσσαρες ἀνδρῶν μυριάδες, ἓξ δὲ αἰχμαλώτων ἄγονται· τριακοσίων μόνον ἐκ τοῦ ῥωμαϊκοῦ πεσόντων στρατοῦ. Στρατιωτικὰ δὲ σημεῖα ὑπὸ Ῥωμαίους ἐγένοντο τρία καὶ τριάκοντα· ὧν ἓν μὲν καὶ τριάκοντα εἷλον οἱ ὑπὸ Κατούλῳ μαχόμενοι, δύο δὲ ὧν ἡγεῖτο Μάριος· ἑκάτεροι δὲ ὅμως ἐθριάμβευσαν.

31. Τῷ δὲ ἑξακοσιοστῷ καὶ πεντηκοστῷ καὶ ἐνάτῳ τῆς πόλεως ἔτει τὴν μὲν ὕπατον εἶχον ἀρχὴν Σέξτος Ἰούλιος Καῖσαρ καὶ Λούκιος Μάρκιος Φίλιππος, σχεδὸν δὲ ἅπας ἡσύχαζε πόλεμος. Ἀλλ᾽ ἐξαίφνης Πικένται καὶ Πελίγνοι, ἀστασιάστως τὸν παρελθόντα ἅπαντα χρόνον ὑπακούσαντες Ῥωμαίοις, ἀπεθρασύνοντο καὶ τὸ ἴσον αὐτοῖς ὑπάρχειν ἐβούλοντο πρὸς τὸν δῆμον. Ἐγένετο τοίνυν βαρὺς οὗτος πόλεμος, ὡς καὶ τὸν ὕπατον ἐν αὐτῷ πεσεῖν, ἄριστον ἄνδρα, Πούβλιον Ῥουτίλιον, Σκιπίωνά τε τῶν ἐπιφανῶν νεανίσκον καὶ Πόρκιον Κάτωνα, καὶ αὐτὸν ὕπατον. Ἡγοῦντο δὲ τοῦ στρατοῦ τῶν πολεμίων, Πικέντων καὶ Μάρσων, Τίτιος Βήττιος, Ἱέριος Ἀσάνιος, Τίττος Ἑρρέννιος, Αὖλος Κλουέντιος. Οὗτος ὁ θόρυβος ἐποίησε Μάριον ἕκτην δέξασθαι τὴν ὕπατον ἀρχήν· τὸ δὲ ἔργον ἐπράχθη παρὰ Πομπηΐου τε καὶ Σύλλου, τῇ μάχῃ καὶ αὐτῶν ἐπιστατούντων· Σύλλας γοῦν Κλουέντιον, τὸν μαχιμώτατον τῶν ἐναντίων στρατηγόν, μετὰ πάσης τῆς δυνάμεως εἷλε τέσσαρσιν ἐνιαυτοῖς, ἀεί τε συμπλεκόμενος καὶ νικῶν ἐν τῷ παντὶ χρόνῳ φαίνεται μόνον ἕνα τῶν οἰκείων ἀποβαλὼν στρατιώτην. Πεντεκαιδεκάτῳ μὲν οὖν ἔτει τέλος ἔσχεν οὗτος ὁ πόλεμος, τοῦ Σύλλου κατορθώσαντος αὐτὸν ἐν ὑπατικῇ λοιπὸν ἐξουσίᾳ· τὰ γὰρ πρότερα πραίτωρ ἐτύγχανεν εἰργασμένος.

2. *τέσσαρες* Π : *τέσσαρες* ἐκ τοῦ *τέσσαρας* Μ 5. *Κατούλῳ* Π : *Κατούλου* Δ 7. *ἐνάτῳ* ἔγραψα : *ἐννάτῳ* Π 8. *Καῖσαρ* ἔγραψα : *Καίσαρ* Π 9. *ἐξαίφνης* Π : *ἐξαίφνης* ἐκ τοῦ *ἐξέφνης* Μ 10. *Πικένται* Π : *Πικένται Μαρσοί τε* Δ 11. *ἀπεθρασύνοντο* Π : *ἀπεθρασύναντο* Δ *ἴσον* Π : *ἴσον* Ι 13. *τὸν ὕπατον* Δ : *ὑπὸ τῶν* Ι : *ὑπὸ τοῦ* ΑΜΣ 14. *Σκιπίωνα* Ι : *Σκηπίωνα* ΑΜΣ : *Κηπίωνά τε* ὀρθῶς Δ 16. *Τίτιος* Π : *Τῖτος* ὀρθῶς Δ *Ἀσάνιος* ΑΜΙ : *Ἀσιάνιος* Σ : *Ἀσίνιος* ὀρθῶς Δ *Ἑρρέννιος* Π. Γραπτέον *Ἑρέννιος* *Τίττος* Π : *Τῖτος* ὀρθῶς Δ 17. *ὁ* Π : *οὖν ὁ* Δ 21. *τέσσαρσιν* Π : *τέσσαρσίν τε* Δ *τε* Π : *καὶ* Δ

23. Ἐν τῇ φφ´ *ἀπὸ κτίσεως ῥώμης ἕως τῆς ὑπατείας σύλλου, ἔτη* $\overline{χξβ}$ *(*$\overline{χοβ}$ ἐκ τοῦ $\overline{χξβ}$ Δ*) τοῦτον τὸν σύλλαν ὁ πλούταρχος παράλληλον τίθησιν τῷ λυσάνδρῳ* (κάτωθεν ταύτης τῆς λέξεως μελαίνης μετὰ τὸ λοιπὸν ἐρυθρὸν σημείωμα γεγραμμένης ἀδιάγνωστά τινα ἄλλα ἐπ᾽ ἴσης μέλανα γράμματα Δ) ΑΜ *πεντεκαιδεκάτῳ* Π : *πέμπτῳ* ὀρθῶς Δ

Ε. Σ. Δ. τῆς Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

4. Τῷ δὲ ἑξακοσιοστῷ καὶ ἑβδομηκοστῷ καὶ δευτέρῳ τῆς πόλεως ἔτει πρῶτος ἐμφύλιος ἀνεφύη πόλεμος, καὶ κατὰ τὸν αὐτὸν τοῦτον ἐνιαυτὸν ὁ πρὸς Μιθριδάτην, μέγιστος εἴπερ τις ἕτερος. Ὁ μὲν οὖν ἐμφύλιος αἰτίαν ἔσχε τήνδε. Μάριος, ἐπὶ τὴν ἕκτην ὑπατείαν κληθείς, συνύπατον ἔσχε τὸν Σύλλαν, ᾧ τὰ πρὸς Μιθριδάτην ἀπεκληρώθη. Τοῦ Σύλλου δὲ περὶ τὴν Καμπανίαν διατρίβοντος· ἐβούλετο γὰρ ὁδοῦ πάρεργον ποιήσασθαι τὴν τῶν ἰταλικῶν ἐπανόρθωσιν πραγμάτων καὶ τὰ λείψανα τῆς παλαιᾶς ἀνελεῖν στάσεως, ὁ Μάριος πείθει τὸν δῆμον ἐπ᾽ αὐτὸν μεταθεῖναι τὴν μιθριδατικὴν μάχην. Καὶ συνήργησεν αὐτῷ πολὺς ὢν ἤδη λοιπὸν ὁ περὶ Μιθριδάτου λόγος ὡς ἤδη τήν τε Ἀσίαν καὶ τὴν Ἀχαΐαν κατειληφότος. Τοῦτο πρὸς ὀργὴν ἐκίνησε τὸν Σύλλαν, καὶ μετὰ τοῦ στρατεύματος εἰς τὴν Ῥώμην ἐπανῆκε· καὶ εἰς χεῖρας ἀφικνεῖται Μαρίῳ τε καὶ Σουλπικίῳ. Πρῶτος δὲ μεθ᾽ ὅπλων οὗτος ἐπὶ τῆς πόλεως ὤφθη. Μάριος μὲν οὖν, τοῦ Σουλπικίου πεσόντος, διεσώθη φυγών· Σύλλας δέ, χειροτονήσας τοὺς τοῦ μέλλοντος ἔτους ὑπάτους, Γνέον τε Ὀκτάβιον καὶ Λούκιον Κορνήλιον Κίνναν, ὥρμησε πρὸς τὴν Ἀσίαν.

5. Μεταξὺ γὰρ ὁ Μιθριδάτης, τοῦ τε Πόντου κρατῶν καὶ τῆς Μικρᾶς καλουμένης Ἀρμενίας καὶ πάσης τῆς Ποντικῆς θαλάσσης τῆς κύκλῳ τοῦ Βοσπόρου, Νικομήδην ἐπειρᾶτο, φίλον ὄντα καὶ σύμμαχον Ῥωμαίων, τῆς Βιθυνίας ἐκβάλλειν, τῷ τε δήμῳ προηγόρευσε τῷ Ῥωμαίων ὑβρισμένος ἀμύνεσθαι τὸν Νικομήδην, οὐκ αὐτοῖς ἀντιτατόμενος. Ὁ μὲν οὖν δῆμος ἀπεκρίνατο πόλεμον αὐτὸν ἐφ᾽ ἑαυτῷ κινήσων ῥωμαϊκόν, εἰ μὴ Νικομήδους ἀποσταίη. Βαρέως δὲ ἐνεγκὼν ὁ Μιθριδάτης ἔπεισε Καππαδόκας, καὶ τὸν Ἀριοβαρζάνην, ὑπόσπονδον ὄντα Ῥωμαίοις, ἐξέβαλε τῶν βασιλείων. Εἶτα μετέστησε τὴν στρατιὰν εἰς Βιθυνίαν τε καὶ Παφλαγονίαν, καὶ τοὺς ἐκεῖ βασιλεύοντας ἐξήλασε, Ῥωμαίων ὄντας ὑπηκόους τε καὶ φίλους, Πυλαιμένην τε καὶ Νικομήδην. Ἐκεῖθεν ἐπὶ τὴν Ἔφεσον ἔσχε τὸν δρόμον, καὶ προγράμματι τοὺς καταλαμβανομένους ἐπὶ τῆς Ἀσίας Ῥωμαίους ἀναιρεθῆναι προσέταξε.

1. *ἑξακοσιοστῷ* Π : *ἐξακοσιοστῷ* Δ  3. *εἴπερ* ΙΜΔ : *εἰπέρ* ΛΣ  6. *ἐβούλετο* Π : *ἠβούλετο* Ι  10. *Μιθριδάτου* ΙΔ : *μιθριδά*<sup>γ</sup> Α : *Μιθριδάτην* ΜΣ  11. *κατειληφότος* Π : *κατειλοφότος* Δ  *τοῦτο* Π : *τοῦτο δὲ* Δ  14. *δὲ* Δ : *τὲ* Π  15. *Σύλλας* Π : *σύλας* Α  16. *Γνέον* Π. Γραπτέον *Γναῖον*  18. *κρατῶν* Π : *κρατῶν ἐκ τοῦ κρατὸν* Μ  19. *Ἀρμενίας* ΙΣΔ : *ἀρμενίας* ΑΜ  22. *Νικομήδην* Π : *νίκομίδην* Μ  29. *ἐκεῖθεν* Π : *ἐκεῖθεν δὲ* Δ

ΙΩΑΝΝΙΝΑ 2006

6. Προςετέθη δὲ αὐτῷ καὶ ἡ τῶν Ἀθηναίων πόλις, Ἀρίστωνος αὐτὴν τοῦ Ἀθηναίου προπιόντος. Ἐπραγματεύετο γὰρ ἤδη τῆς Ἀχαΐας τὴν κτῆσιν, Ἀρχέλαον ἐκπέμψας σὺν ἑκατὸν καὶ εἴκοσι χιλιάσι πεζῶν τε καὶ ἱππέων, καὶ ὃς ἅπασαν αὐτῷ προςηγάγετο τὴν Ἑλλάδα. Σύλλας τοίνυν, τῷ Πειραιεῖ προςκαθεσθείς, τὰς μὲν Ἀθήνας εἷλεν· ἐπεξελθὼν δὲ Ἀρχελάῳ καὶ συμμίξας, μετὰ τοσαύτης ἐκράτησε περιουσίας, ὥςτε δέκα μὲν Ἀρχελάῳ διασωθῆναι χιλιάδας ἐκ τῶν ἑκατὸν εἴκοσι, τοῦ δὲ ῥωμαϊκοῦ στρατεύματος τρεῖς καὶ δέκα μόνον ἄνδρας πεσεῖν. Ἀλλ' ὁ Μιθριδάτης, τὴν Ἀρχελάου δυςπραγίαν γνούς, ἀπέστειλεν ἑβδομήκοντα χιλιάδας αὐτῷ, τοὺς ἀρίστους ἐκ τῆς Ἀσίας ἐπιλεξάμενος. Γίγνεται δὴ δευτέρα συμπλοκή, καὶ οὐ μετὰ τῆς ἴσης ἑκάτεροι διεκρίθησαν τύχης. Ἡττᾶται γὰρ Ἀρχέλαος, καὶ πίπτουσιν αὐτοῦ δεκαπέντε χιλιάδες, καὶ πρὸς Διογένης ὁ Ἀρχελάου παῖς· αὐτὸς δὲ ἐν τοῖς πλησίον ἕλεσιν τρεῖς διαλαθὼν ἡμέρας ἐσώθη. Ταῦτα τὸν Μιθριδάτην ἠνάγκασε περὶ σπονδῶν ποιήσασθαι πρὸς τὸν Σύλλαν λόγους, ἑτέρους ἤδη κατορθοῦντα πολέμους.

7. Σκορδίσκους γὰρ καὶ Δαλμάτας καὶ Δαρδάνους τοὺς μὲν χερσί, τοὺς δὲ φόβῳ συνῆψε Ῥωμαίοις. Ἔνθα δὴ καὶ οἱ τοῦ Μιθριδάτου παραγενόμενοι πρέσβεις τὰ παρὰ τοῦ βασιλέως ἀπήγγειλαν. Ὁ δὲ οὐ πρότερον ἔφη περὶ σπονδῶν ἀκούσεσθαι, πρὶν ἂν ἀπολιπὼν ἅπασαν ἣν ἐφόδῳ κατέσχε γῆν ἐπὶ τὴν προτέραν αὐτοῦ βασιλείαν ἐπανέλθοι. Ἐπεὶ δὲ καὶ εἰς λόγους ἦλθεν ὁ Μιθριδάτης αὐτῷ, τῶν ἐμφυλίων αὐτὸν καλούντων θορύβων, ἔδωκε τὰς σπονδάς· ἠβούλετο γὰρ τὰ πολιτικὰ καθιστὰς μηδέποτε κατόπιν αὐτοῦ πολέμιον ἔχειν. Εὐθὺς οὖν ἐπὶ τὴν πόλιν ἔδραμεν, ἤδη τοῦ Μαρίου καὶ Κίννου, ὃν ὕπατον ὁ Σύλλας ἐχειροτόνησε, συμπνευσάντων ἀλλήλοις καὶ πολλὰ κατὰ τὴν Ῥώμην ἐργασαμένων. Πολλοὺς γὰρ τῶν συγκλητικῶν διεχρήσαντο καὶ πολλῶν τὰς οὐσίας ἐδήμευσαν, τήν οἰκίαν τε τοῦ Σύλλου καθελόντες καὶ ἀνατρέψαντες, τὴν γαμετὴν καὶ τοὺς παῖδας εἰς φυγὴν ἔτρεψαν. Ἀμέλει τῆς συγκλήτου τὸ λειπόμενον ἐπὶ τὸν Σύλλαν ὥρμησεν, ὥςτε βοηθῆσαι τοσούτῳ κακῷ. Παραγενόμενος οὖν εἰς τὴν Ἰταλίαν ὁ Σύλ-

1. *αὐτῷ* ΑΜΣ : *αὐτῶν* ΙΔ *Ἀθηναίων* ΑΙΔ : *Ἀθηνῶν* ΜΣ *Ἀρίστωνος* Η : *Ἀριστίωνος ἐκ τοῦ Ἀρίστωνος* Μ. Γραπτέον *Ἀριστίωνος* 11. *γίγνεται* Δ : *γίνεται* Η 14. *ἕλεσιν* ΑΜΙ : *ἕλεσι* ΣΔ 15. *ποιήσασθαι* Η : *ποήσασθαι* Μ
16. *κατορθοῦντα* ΙΣΔ : *κατορθοῦντος* ΑΜ 19. *ἀπήγγειλαν* Η : *ἐπήγγειλαν* Μ
*ἀπολιπὼν* Η : *ἀπολειπὼν* Ι 22. *αὐτὸν* Η : *αὐτῶν* Δ 28. *οἰκίαν* Α, Sylburg, Δ : *οὐσίαν* ΜΙΣ

Ε.Υ. Λάππας Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

λας Νορβανὸν καὶ Σκιπίωνα τοὺς ὑπάτους, οἳ κατὰ τὴν Μαρίου ταραχὴν ἐκεχειροτόνηντο, μάχῃ ἐνίκησε, πρῶτον μὲν Νορβανὸν περὶ τὴν Καπύην, οὗ χιλιάδας μὲν διέφθειρεν ἕξ, εἷλε δὲ τοσαύτας ἑτέρας, δεύτερον δὲ τὸν Σκιπίωνα, ὃς καὶ παρέδωκεν ἑαυτὸν σὺν τῷ στρατεύματι.

8. Γενομένων δὲ ἑτέρων κατὰ τὴν Ῥώμην ὑπάτων, Μαρίου τε τοῦ παιδὸς καὶ Παπιρίου Κάρδωνος, τὸν Μάριον καταπολεμήσας καὶ πεντεκαίδεκα χιλιάδας αὐτοῦ διαχρησάμενος, κατέλαβε τὴν πόλιν, ἐπακολουθῆσαί τινας φεύγοντι τῷ Μαρίῳ κελεύσας ἐκ τοῦ στρατεύματος, οὓς δείσας ἐκεῖνος ἐπήγαγεν ἑαυτῷ τελευτήν. Ἐν δὲ ταύταις πάσαις ταῖς μάχαις τῇ μὲν πρὸς τοὺς προτέρους ὑπάτους τέσσαρας καὶ εἴκοσι μόνους ἐκ τῆς αὐτοῦ στρατιᾶς ἀπώλεσεν ὁ Σύλλας, τῇ δὲ πρὸς τοὺς ἑτέρους τεσσαράκοντα. Μετὰ δὲ ταῦτα γίγνεται καὶ ἑτέρα μάχη τῷ Σύλλᾳ πρὸς Λαμπώνιον καὶ Καρινάτην, στρατηγοὺς τοῦ Μαρίου, κατ᾽ αὐτῆς τῆς Ῥώμης τὰ προπύλαια, ἔνθα περ ἡ Κυλλήνη καλουμένη πύλη. Ἀντεττάτοντο δὲ αὐτῷ χιλιάδες ἑβδομήκοντα. Τούτων δώδεκα μὲν εὐθὺς προσεχώρησαν τῷ Σύλλᾳ, οἱ λοιποὶ δὲ οἱ μὲν κατ᾽ αὐτὴν τὴν παράταξιν, οἱ δὲ φεύγοντες, οἱ δὲ πρὸς τὰς παρεμβολὰς καταφεύγοντες ἀνῃρέθησαν· καὶ κόρος οὐκ εἶχε τοὺς φονεύοντας. Ἐνταῦθα δὴ καὶ ὁ Κάρδων, ὁ τῶν ὑπάτων ἕτερος, φεύγει πρὸς τὴν Σικελίαν, κἀκεῖ δέχεται τὴν τελευτὴν ὑπὸ τοῦ Πομπηίου. Τοῦτον γὰρ ὁ Σύλλας, νέον ἔτι καὶ πρῶτον ἔτος ἄγοντα πρὸς τοῖς εἴκοσι, πολλάκις ἀριστεύσαντα τεθεαμένος, ἐπέστησε τῷ κατὰ Σικελίαν στρατῷ, καὶ πάσης ἐκράτησε τῆς νήσου μετὰ τὴν Κάρδωνος σφαγήν. Δεύτερος οὖν ἐπεκαλεῖτο Σύλλας.

9. Ἀπὸ δὲ τῆς Σικελίας ἐπὶ τὴν Ἀφρικὴν διαπλεύσας συμπλέκεται Δομιτίῳ· Μαρίου καὶ οὗτος ἦν στρατηγός· καὶ αὐτόν τε ἀναιρεῖ καὶ τὸν Ἱέρδαν, Μαύρων βασιλεύοντα, συμμαχοῦντα τῷ Δομιτίῳ. Ὡς οὖν

1 (καὶ 4) *Σκιπίωνα* ΙΔ : *Σκηπίωνα* ΑΜΣ  3. *μὲν διέφθειρεν* ἔγραψα : *διέφθειρε μὲν* Ι : *μὲν ἔφθειρεν* Π  9. *ἐπακολουθῆσαί τινας* Δ : *ἐπακολουθῆσαι τινὰς* Π  11. *τοὺς προτέρους* Π : *τοὺς τέρους* τοῦ ἄνωθεν *προ* προστεθέντος τῇ δευτέρᾳ χειρὶ Α  11-13. *ὑπάτους-ἑτέρους* ἐν συνεχείᾳ τοῦ κειμένου Π : πρόσθετα ἐν τῇ ᾤᾳ Α  13. *δὲ* Π : λείπει Ι  15. *Κυλλήνη* Π : *Κολλίνη* διώρθωσε Δ

17 (καὶ 18). *δὲ* Π : *δὲ᾽* Α  20-21. *Σικελίαν* Π : *Σικελλίαν* Α  21. *κἀκεῖ* Ι : *κακεῖ* ΑΜΣ : *κἀκεῖ* Δ  τοῦ ΑΜΙ : λείπει ΣΔ  27. *Δομιτίῳ* ἔγραψα ἐνταῦθα τε καὶ κατωτέρω (Ἴδε κατωτέρω τὴν γραφὴν τοῦ Ι ἐν σ. 58, 19) : *Δομητίῳ* Π  *Μαρίου* Π : *Μαρίῳ* Δ  *αὐτόν τε* Δ : *αὐτόν τὲ* Π  28. *Ἱέρδαν* ΑΜΣ : *ἱέρδαν* ΙΔ. Γραπτέον *Ἰάρβαν*

καὶ τῶν ἐμφυλίων κεκρατηκὼς ὁ Σύλλας τὸν κατὰ Μιθριδάτου θρίαμβον ἀπεπλήρωσε, καὶ Πομπήιος δὲ πρῶτος τοῦτο λαχὼν ἐν νεότητι τὸ γέρας, εἰκοστῷ καὶ τετάρτῳ τῆς ἡλικίας ἔτει κατὰ τῶν Ἄφρων ἐθριάμβευσεν. Οὕτως ἐτελεύτησαν ὅ τε ἰταλικὸς πόλεμος καὶ ὁ ἐμφύλιος πόλεμος, ἐπὶ δεκάτῳ ἐκταθέντες ἐνιαυτῷ, ὀλεθριώτατοι γενόμενοι τῇ Ῥώμῃ. Κατ' αὐτοὺς γὰρ ἀπέβαλον ἑκατὸν καὶ πεντήκοντα χιλιάδας ἀνδρῶν ὁπλιτῶν, εἴκοσι δὲ καὶ τέσσαρας ὑπατικοὺς ἄνδρας, ἑπτά τε πραιτωρίους, αἰδιλικίους ἑξήκοντα, συγκλητικοὺς δὲ ἀμφὶ τοὺς διακοσίους. Ἡ δὲ τῶν αἰδιλικίων ἀρχή τις ἦν, ἧς πρώτης οἱ παριόντες ἐπὶ τὰ πράγματα τῆς πόλεως ἐτύγχανον.

## ΒΙΒΛΙΟΝ Ϛʹ.

1. Μάρκου Αἰμιλίου Λεπίδου καὶ Κύντου Κατούλου γενομένων ὑπάτων καὶ τῆς πολιτείας ὑπὸ τοῦ Σύλλου πεφυλαγμένης, καινοὶ πόλεμοι πανταχόθεν ἐξανέστησαν, ἐν μὲν ταῖς Ἱσπανίαις Σερτωρίου νεωτερίσαντος, ὃς τῆς Μαρίου συμμορίας ἦν, καὶ τοὺς Ἱσπανοὺς εἰς ὅπλα κινήσαντος, δείσαντος μὴ ταὐτὰ πάθῃ τοῖς λοιποῖς τοῖς Μαρίῳ κεκοινωνηκόσιν, ἐν Παμφυλίαις δὲ καὶ Μακεδονίᾳ καὶ Δαλματίᾳ τῶν ἐνοίκων τῆς γῆς κατὰ τοῦ δήμου στασιασάντων. Πέμπονται τοίνυν ἐπὶ μὲν τὸν Σερτώριον Κύντος Καικίλιος Μέτελλος, ὁ Μετέλλου παῖς τοῦ Ἰουγούρθαν νικήσαντος, καὶ Λούκιος Δομίτιος. Ἀλλ' ὁ μὲν Δομίτιος συμμίξας ἀνῃρέθη, Μέτελλος δὲ ἀμφήριστον ἔσχε τὴν μάχην. Ἐπεὶ δὲ οὐκ ἐδόκει μόνος ἀρκεῖν, πέμπεται Πομπήιος· καὶ διαφόρους ἔσχεν ἡ μάχη τύχας, νῦν μὲν κρατοῦντος, νῦν δὲ ἡττωμένου Σερτωρίου.

1. *Μιθριδάτου* ΙΔ : *Μιθριδάτην* ΜΣ : *μιθριδά* Α 4. *ἰταλικὸς* Π : *ἰταλικὸς* ἐκ τοῦ *ὑταλικὸς* Μ 6. *τῇ Ῥώμῃ* ΙΔ : *τῆς Ῥώμης* ΑΜΣ 7. *ὁπλιτῶν* Π : *ὁπλίτων* ἐκ τοῦ *ὁπλητῶν* Μ 8. *αἰδιλικίους* Π : *καὶ αἰδιλικίους* Δ 8-9. *ἀμφὶ τοὺς* Π : *ἀμφίτοις* Μ 10. *παριόντες* ΜΙΔ : *παρόντες* ΑΣ 11. *Αἰμιλίου* Π : *αἰμιλίου* Μ 12. *καινοὶ* ΣΔ : *κενοὶ* ΑΜΙ 13. *Ἱσπανίαις* Δ : *ἰσπανίαις* ΑΜΙ : *Ισπανίαις* Σ 14. *Ἱσπανοὺς* Δ : *ἰσπανοὺς* ΑΜΙ : *Ισπανοὺς* Σ 15. *δείσαντος* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *δείσαντος* πρόσθετον τῇ δευτέρᾳ χειρὶ διὰ Λ παραπεμπτικοῦ σημείου Μ *ταὐτὰ* Π : *ταυτὰ* Α 16. *Παμφυλίαις* Π : *Παμφυλίᾳ* ὀρθῶς Δ 18. *Καικίλιος* ΣΔ : *καὶ κίλιος* ΑΜΙ 19. *Δομίτιος* Ι : *Δομήτιος* ΜΣΔ : *δομήτιος* ἐκ τοῦ *δομῖτιος* Α *Δομίτιος* ἔγραψα : *Δομήτιος* Π
20. *ἀνῃρέθη* Π : *ἀνηραίθη* Μ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006